12. [16] Ἰητρικὴ δὲ, τοῦτο μὲν τῶν ἐμπύων, τοῦτο δὲ [17] τῶν τὸ ἧπαρ ἢ τοὺς νεφροὺς, τοῦτο δὲ τῶν ξυμπάντων ἐν τῇ νηδύϊ νοσεύντων

[1] Ὀλιγωρίην. ἐπιτίθενται γὰρ λαμβανόμενοι δὲ ὑπὸ τῶν νοσ. vulg. – ὀλιγωρίην ἐπιτίθενται. οὐ λαμβανόμενοι (συλλαμβανόμενοι sine οὐ L) δὲ ὑπὸ τῶν νοσ. EFGHIJKO, Ald. – ὀλιγωρίην ἐπιτίθεται (alia manu ἐπιτίθενται). οὐ λαμβανόμενοι γὰρ, ἀλλ' εἰλημμένοι ὑπὸ τῶν νοσ. A. – Il va sans dire qu'il faut recevoir l'excellente restitution de A. Reste ἐπιτίθενται. Le Thesaurus donne à ce verbe le sens de temporiser, ajourner; mais il ne cite pas d'autre exemple de cette signification que ce passage même du traité de l'Art, passage qui n'est pas valable; car le texte est altéré. Foes, qui rend ἐπιτίθενται par *cunctari,* dit qu'on pourrait lui attribuer le sens d'*aggredi* en adoptant la ponctuation qui est celle de nos mss. ; mais cela n'est pas possible; la construction des deux τε correspondants ne le permet pas. Cette phrase a beaucoup souffert. On comprend très-bien comment le copiste a sauté de οι de λαμβανόμενοι à οι de εἰλημμένοι ; mais, cela fait, il faut admettre que des correcteurs ont ajouté le δὲ donné par nos mss. , et que d'autres ont substitué à οὐ qu'ont nos mss. le γὰρ que présentent les éditions. Ce γὰρ pour οὐ, au reste, ne s'y trouve qu'à partir de l'édition de Cornarius, qui l'a pris je ne sais où. Je crois qu'on aura une restauration probable de la phrase si on lit ἐπεὶ ἔοικε au lieu de ἐπιτίθεται ; correction que l'iotacisme et l'identité de prononciation de αι avec ε rendent plausible. — [2] ἐπὶ τῆς sine γε A. – ὁπόταν A. – τε pro τὰ A. — [3] ὁπότερον μὴ pro ὁκ. A. – Si on adoptait le μὴ de A, il faudrait ajouter au texte, lire ἢ μέμφεσθαι ὁκόταν μὴ ἐγχ., et traduire : que blâmable quand il refuse de s'attaquer à des choses impossibles. – ἐγχειρήσῃ AEHKO. – ἐγχειρίσῃ vulg. – γε A. – γε om. vulg. – εἰρημένων sine ἤδη A. – οὐδεμίῃ vulg. – οὐ-

qui n'est imposée à aucun des arts inventés jusqu'à présent. Ceux des arts qui emploient le feu sont inoccupés quand il est absent, et occupés quand il est allumé; ceux qui mettent en œuvre des matières faciles à retoucher, telles que les bois, les cuirs, ceux qui s'exercent par le dessin, par le cuivre et par le fer, en un mot, la plupart de ceux qui pratiquent des opérations de ce genre, tiennent moins, bien qu'il soit aisé de corriger les objets faits de ces substances ou à l'aide de ces substances, à procéder avec célérité que conformément aux règles; ils ne prétendent pas non plus à des prodiges, et, si quelqu'un de leurs instruments fait défaut, le travail chôme; cependant la lenteur est contraire à leurs intérêts, mais elle n'en est pas moins préférée.

12. (*Pour étudier les maladies internes, la médecine s'est créé des ressources auxiliaires; mais ces ressources, étant indirectes, comportent de l'indétermination et entraînent des retards.*) De son côté, la médecine, empêchée, ici dans les empyêmes, là dans les affections du foie ou des reins, en un

δεμιῆ A. — [4] ὅσα Codd. regg. ap. Foes. — [5] ἄνεργοι EFGHIJKLO, Zwing. in marg. - ἄεργοι vulg. — [6] καὶ ὅσαι μετὰ τοῦ ὀφθῆναι ἀεργοὶ (ἐνεργοὶ A) pro μετὰ... ὅσαι AEFGHIJK, Ald. — [7] τούτου vulg. - τοῦτο me paraît une correction nécessaire. - ὀφθῆναι L, Zwing. in marg. - εὐεργοὶ Codd. regg. ap. Foes. — [8] Post ὅσαι addit καὶ vulg. - καὶ me paraît superflu et pouvoir être supprimé dans cette phrase, qui, comme les mss. le témoignent, a beaucoup souffert des copistes. - καίτοι ἐν pro τοῖσιν A. — [9] τοῖσι σ. vulg. - τοῖσι om. A. — [10] γραφῇ τε χαλκῷ τε O. — [11] Le texte de A est surchargé; je crois y lire ὁμοίοις σχημασίαι πλεῖσται, qu'une autre main a changé en ὁμ. σχήμασιν αἱ πλ. - ὁμοίαισιν G. — [12] ὄντα δὲ ἐκ A. - τὰ δ' ἐκ vulg. - J'ai combiné les deux leçons. — [13] τουτέων A. - τούτων vulg. - δημιουργούμενα A. - καὶ εὐεπ. vulg. - καὶ om. JO. — [14] οὕτω ταχὺ al. manu A. - δεῖται A. - δημιουργέεται Lind. - Les éditions mettent un point en haut après ὑπερβατῶς et une virgule après δημιουργεῖται; c'est le contraire qu'il faut faire. - ἄλλην ἀπειτει (al. manu ἀπήτει) τῶν ὀργ., ἐλείνυσιν A. - ἐλλιννύει vulg. - ἐλιννύει Lind., Mack. - ἐλινύει Kühn. - ἐλλιννύειν Ald. - ἐλλινύειν EHIJKO. — [15] καίτοι εἰ κακ. (κακεῖναι, al. manu αις J) Codd. regg. ap. Foes, Zwing. in marg. - λυσιτελέον FHJKO, Ald. - λυσιτελεῦν A. - Post ὅμως addit τὸ ταχὺ Heurn. in marg. - προστιμᾶται I. — [16] ἰητρικῇ J. — [17] τῶν Codd. - τῶν om. vulg. - ἀπεστηρημένη τι ἰδεῖν ὄψει ἢ τὰ A. - ἀποστερουμένη τῇ δεινοψίῃ, τὰ vulg. - ὄψει ἰδεῖν ἃ πάντα Zwing. in marg.

ἀπεστερημένη τι ἰδεῖν ὄψει, ᾗ τὰ πάντα [1]πάντες ἱκανωτάτως ὁρῶσιν, ὅμως ἄλλας εὐπορίας συνεργοὺς ἐφεῦρε, φωνῆς τε γὰρ [2]λαμπρότητι καὶ τρηχύτητι, καὶ πνεύματος ταχυτῆτι καὶ βραδυτῆτι, καὶ ῥευμάτων, ἃ διαῤῥεῖν εἴωθεν, ἑκάστοισι, δι' ὧν ἔξοδοι [3]δέδονται, ὧν τὰ μὲν ὀδμῇσι, τὰ δὲ χροίῃσι, τὰ δὲ λεπτότητι καὶ παχύτητι διασταθμωμένη τεκμαίρεται, ὧν τε σημεῖα ταῦτα, ἅ τε πεπονθότων, ἅ τε παθεῖν δυναμένων. Ὅταν δὲ ταῦτα [4][μὴ] μηνύωνται, μηδ' αὐτὴ ἡ φύσις ἑκοῦσα ἀφίῃ, ἀνάγκας εὕρηκεν, ᾗσιν ἡ φύσις ἀζήμιος βιασθεῖσα μεθίησιν· ἀνεθεῖσα δὲ δηλοῖ τοῖσι τὰ τῆς τέχνης εἰδόσιν, ἃ ποιητέα. Βιάζεται δὲ τοῦτο μὲν [5]πῦρ τὸ σύντροφον φλέγμα διαχέειν σιτίων δριμύτητι καὶ πομάτων, ὅκως τεκμαρεῖταί τι ὀφθὲν περὶ ἐκείνων, [6]ὧν αὐτῇ ἐν ἀμηχάνῳ τὸ ὀφθῆναι ἦν· [7]τοῦτο δ' αὖ πνεῦμα ὧν κατήγορον, ὁδοῖσί τε προσάντεσι καὶ δρόμοις ἐκϐιᾶται κατηγορέειν· ἱδρῶτάς τε τούτοισι τοῖσι προειρημένοισιν ἄγουσα, [8]ὑδάτων θερμῶν ἀποπνοίῃσι πυρὶ ὅσα τεκμαίρονται, τεκμαίρεται. Ἔστι δὲ ἃ [9]καὶ διὰ τῆς κύστιος διελθόντα ἱκανώτερα τὴν νοῦσον δηλῶσαί ἐστιν, ἢ διὰ τῆς σαρκὸς ἐξιόντα. Ἐξεύρηκεν οὖν καὶ [10]τοιαῦτα πόματα καὶ βρώματα, ἃ τῶν θερμαινόντων θερμότερα [11]γιγνόμενα τήκει τε ἐκεῖνα καὶ

[1] Πάντως JLQ' – ἱκανωτέρως J. – Ce superlatif adverbe est suspect d'après Buttmann, t. II, p. 270 in nota, § 115 b. – ὅμως καὶ ἄλ. L. – ἄλλως J. – εὗρε A. — [2] λαμπρότητι καὶ τρηχύτητι καὶ πνεύματος ταχυτῆτι καὶ βραδυτῆτι καὶ ῥευμάτων A. – λαμπρότητα καὶ βραδυτῆτα καὶ ῥεύματα vulg. – λαμπρότητι καὶ βραδύτητι καὶ ῥευμάτων EFGHIJKO, Ald. – Le texte de A est le seul complet. — [3] δέχονται, emend. al. manu E. – ὀσμῇσι EGHIJKO. – ὀδμῆς A. – χροιῆς A. – χροῇσι EGHIKO, Ald. – λεπτότητι καὶ παχύτητι, alia manu λεπτότητος καὶ παχύτητος A. – διασταθμώμενα A. — [4] ταῦτα τὰ A. – La négation μὴ, que j'ai ajoutée entre crochets, me paraît indispensable; elle aura été facilement omise, le mot suivant commençant par μη. – μηνύονται AIJO. – εὕρη κενῆσιν Ald. – εὑρήσει κενῆσιν EH. – εὑρήσει ἐν ᾗσιν K. – οἷσιν J. – ἀζημίως al. manu A. – ἀζύμιος E, Zwing. – εἰδόσιν Codd., Lind., Mack. – ἰδόσιν vulg. — [5] ποου (sic), al. manu ποιοῦσιν A. – διαχέειν A, Lind. – διαχεῖν vulg. – δριμύτητα J. – δριμυτάτων L. – ὅκως τεκμηρεῖται, al. manu τεκμηρῆται A. – ὅπως τεκμαρῆται (τεκμαρεῖται J) vulg. — [6] ὧν αὐτῇ ἐν ἀμηχάνῳ τὸ ὀφθῆναι ἦν A. – ὧν αὐτὴ (αὐτῇ EFHJ) ἐμηχάνωτο (ἐμηχάνατο Zwing; ἐμηχανᾶτο Mack) (addit τὸ L) ὀφθῆναι vulg. – Le texte de vulg., tout altéré qu'il est, porte encore des traces de l'ancienne et bonne leçon, qui est dans A. — [7] τό τ' αὖ Codd., Ald. – ὃν om. A. – κατ. ὃν Lind. – Il faut lire ὧν, au lieu de ὃν, ce qui est à peine une correction, vu la prononciation identique de ces deux mots dans le grec moderne. – ὁδοῦσι (sic)

mot, dans toutes celles des cavités, de rien voir de cette vue des yeux qui permet à chacun d'examiner suffisamment les objets, s'est créé des ressources auxiliaires, observant la netteté ou la raucité de la voix, la rapidité ou la lenteur de la respiration, et, pour chacun des flux ordinaires, les voies qui leur livrent issue. Elle juge de ces flux par leur odeur, par leur couleur, par leur ténuité et leur consistance, et en induit de quel état ces phénomènes sont signes, quels indiquent un lieu déjà affecté, quels un lieu pouvant s'affecter. Quand ces signes sont muets et que la nature ne les fournit pas elle-même de son plein gré, la médecine a trouvé des moyens de contrainte par lesquels s'ouvre la nature violentée sans dommage; celle-ci, relâchée de la sorte, révèle aux gens qui savent leur métier, ce qu'il faut faire. Ainsi, tantôt la médecine force la chaleur innée à dissiper au dehors l'humeur phlegmatique par l'intermédiaire d'aliments et de boissons âcres, afin d'appuyer son jugement sur la vue de quelque chose en des cas où autrement il lui était absolument interdit de rien voir; tantôt, par des promenades sur des chemins montants et par des courses, elle oblige la respiration à révéler ce dont elle est la révélatrice ordinaire; tantôt enfin, provoquant les sueurs par les moyens indiqués plus haut, elle reconnaît tout ce qu'à l'aide du feu on reconnaît dans la vaporisation de l'eau. Quelquefois, ce qui est excrété par la vessie donne, sur la maladie, de meilleures notions que ce qui sort par la peau; en conséquence, la médecine a découvert des boissons et des aliments qui, étant plus chauds que la matière qui échauffe le corps, la fondent et en déterminent l'écoulement; matière

JO. – προσάντησι H. – ἐκβιῆται A. — [8] ὑδ. θ. ἀπ. τεκμαίρεται vulg. – θερμὸν ὕδατος (al. manu, sed quod erat prius non liquet) ἀποπνοίησι πυρὶ ὅσα τεκμέρονται (al. manu μαί) A. – Je lis τεκμαίρονται, τεκμαίρεται. L'omission de τεκμαίρονται dans vulg. et de τεκμαίρεται dans A se comprend très-facilement. Il faut compléter les deux leçons l'une par l'autre. — [9] καὶ om. A. – δηλῶσαι τὴν νοῦσον A. — [10] καὶ τὰ τ. A. – πόματα καὶ om. G. — [11] γιν. A.

διαῤῥεῖν ποιέει, [1]ἃ οὐκ ἂν διεῤῥύη μὴ τοῦτο παθόντα. Ἕτερα μὲν οὖν πρὸς ἑτέρων, καὶ ἄλλα δι' ἄλλων ἐστὶ τά τε διιόντα τά τ' ἐξαγγέλλοντα, ὥστ' οὐ θαυμάσιον αὐτῶν [2]τάς τε ἀπιστίας χρονιωτέρας [3]γίνεσθαι τάς τ' ἐγχειρήσιας βραχυτέρας, οὕτω δι' ἀλλοτρίων ἑρμηνειῶν πρὸς τὴν θεραπεύουσαν [4]ξύνεσιν ἑρμηνευομένων.

13. Ὅτι μὲν οὖν καὶ λόγους ἐν ἑωυτῇ εὐπόρους [5]ἐς τὰς ἐπικουρίας ἔχει ἡ ἰητρικὴ, καὶ οὐκ εὐδιορθώτοισι δικαίως οὐκ ἂν ἐγχειρέοι τῇσι νούσοισιν, ἢ ἐγχειρευμένας ἀναμαρτήτους ἂν [6]παρέχοι, οἵ τε νῦν λεγόμενοι λόγοι δηλοῦσιν αἵ τε τῶν εἰδότων τὴν τέχνην ἐπιδείξιες, ἃς ἐκ τῶν ἔργων [7]ἥδιον ἢ ἐκ τῶν λόγων ἐπιδεικνύουσιν, οὐ τὸ λέγειν καταμελετήσαντες, ἀλλὰ τὴν πίστιν τῷ πλήθει ἐξ ὧν ἂν ἴδωσιν οἰκειοτέρην ἡγεύμενοι, ἢ ἐξ ὧν [8]ἂν ἀκούσωσιν.

[1] Ἢ pro ἃ A. - διερύη A. - ἐξαγέλλοντα A. - ὥστε A. — [2] τάς τε πίστιας (ἀπίστιας sic J) vulg. - τάς τε ἀπιστίας FG, Ald. - χρονιοτέρας A, Ald. — [3] γίν. τάς τ' ἐγχ. βρ. om. A. - ἐγχειρήσιας EFGHKO, Ald. - ἐγχειρίσιας vulg. - βραδυτέρας Zwing. in marg., Mack. - Bien que les mss. confondent fréquemment βραδυτέρας et βραχυτέρας, et bien qu'au premier abord le premier paraisse ici préférable au second, cependant je garde βραχυτέρας, qui a pour lui l'unanimité de nos mss., et je lui donne le sens de *moins efficace;* βραδυτέρας, adopté, il est vrai, par les traducteurs, a l'inconvénient de faire que ce membre de phrase soit une répétition de celui où l'auteur a mis χρονιωτέρας; il a surtout celui de n'être fourni par aucun ms. — [4] ξ. E. - σ. vulg. — [5] ἐς A. - εἰς vulg. - ἡ om. A. - ἰατρ. O. - εὐδιορθώτους A. - ἐγχειροίη A. - ἐγχειρέη EHK. - ἐγχειρέει O. - τοῖσι EO. - ἐγχειρουμένης, al. manu ας E. - ἐγχειρευμένης HIKO. - ἐγκεχειρευμένης GJ. — [6] παρέχοι AO, Kühn. - παρέχῃ vulg. — [7] ἥδ. ἢ ἐκ τ. λ. om. A. - καταμελήσαντες Q', Zwing. in marg. - πίστην A. - τὴν ἀληθῆ pro τῷ πλήθει Merc. in marg. — [8] ἂν A. - ἂν om. vulg. - τέλος σὺν θεῷ Ἱπποκράτους περὶ τέχνης A.

qui ne se serait jamais écoulée sans cette intervention. On le voit, les excrétions n'ont pas un rapport constant avec les renseignements qu'elles fournissent, et varient suivant les voies qu'elles suivent : il ne faut donc pas s'étonner que l'on s'y fie plus tardivement, et que l'application en soit moins efficace, puisqu'elles ne servent au jugement thérapeutique qu'après tant d'interprétations indirectes.

13. (*Conclusion.*) En définitive, la médecine dispose de raisonnements qui lui fournissent des secours pour le traitement, elle s'abstient avec raison de toucher aux maladies peu susceptibles de guérison, ou bien, y touchant, elle n'y commet aucune faute. Cette proposition est démontrée et par le présent discours et par les exemples des hommes sachant leur métier; ceux-là se plaisent plus à prouver par des faits que par des paroles, et, sans s'occuper de discourir, ils sont persuadés que le vulgaire a plus de confiance en ce qui frappe ses yeux, qu'en ce qui frappe ses oreilles.

FIN DU TRAITÉ DE L'ART.

ΠΕΡΙ ΦΥΣΙΟΣ ΑΝΘΡΩΠΟΥ.

DE LA NATURE DE L'HOMME.

ARGUMENT.

Une opinion métaphysique appartenant à la philosophie éléatique et entre autres à Mélissus, de Samos, qui fut un philosophe célèbre, contemporain de Socrate, et qui est cité dans ce traité même, admettait que l'univers n'était formé que d'une seule substance. De la philosophie, cette opinion avait passé dans la médecine, et certains médecins avaient soutenu, de vive voix ou par écrit, qu'une substance unique composait le corps des animaux, et entre autres le corps humain. Notre traité est destiné à combattre cette hypothèse, et en même temps à établir la doctrine des quatre humeurs, sang, pituite, bile jaune, bile noire, qui prédominent suivant les quatre saisons de l'année. A partir du § 9, Galien pense que tout est une interpolation faite à Alexandrie; il est possible que cette fin n'appartienne pas, en effet, au plan de l'ouvrage primitif; toutefois, il est certain qu'au moins un morceau de cette partie finale est beaucoup plus ancien que la fondation des bibliothèques d'Alexandrie : c'est la singulière description des veines, § 11, qu'Aristote cite, et qu'il attribue à Polybe, gendre d'Hippocrate (*voy.* t. I, p. 46).

BIBLIOGRAPHIE.

MANUSCRITS.

2253 = A, Cod. Medic. = B, 2146 = C, 2255 = E, 2144 = F, 2141 = G, 2142 = H, 2140 = I, 2143 = J, 2145 = K, Cod. Serv. = L, 1868 = O [1], 2332 = X, Imp. Corn. ap. Mack = K', Imp. Samb. ap. Mack = P', Cod. Fevr. ap. Foes = Q'; Cod. Hafniensis [2] = γ, Cod. Florentinus ap. Mack = δ, 2147 = ε.

ÉDITIONS, TRADUCTIONS ET COMMENTAIRES.

Latine, Andr. Brentio vertente, in Collect. Symphoriani Champerii, in-8° sine loco et anno ed. — Eadem versio, in operum quorumdam Rhasis Collect. Venet. 1497 in-f°; in Articella, Andr. Brentio vertente, Lugd. 1506 in-8°, Paris. 1516 in-4°; cum Galeni de Sectis libro et Alexandro Aphrodisæo, Brentio interprete, Paris. ap. H. Steph. 1518 in-4°; cum Hippocr. de Victus rat. in acutis liber de natura humana, Brentio interprete, Paris. ex offic. Colinæi 1524 in-12. — Guill. Copo vertente, Lugd. 1525 in-8°. — Galeni in hunc librum commentarii II, Hermanno Cruserio interprete, Paris. 1513 in-4°, Paris. 1534 in-12, Venet. 1538 in-12, Paris. 1539 in-12. Ex recensione Rabelaisii, vide t. II, p. 104. — Græce, cura Albani Torini, Basil. 1536 in-8°, 1543 in-8°; Paris. 1548 in-4°, Lugd. 1548, 1558 in-12, Bremæ 1584 in-4°, Ludg. Batav. 1627 in-8°, græco-latine, Lugd. 1570 in-12, — Blasius Hollerius, cum textu græco et latino Gal. Comment. Basil. 1536 in-8°, 1562 in-8°, et in Opp. Maceratæ 1582 in-f°. — Gallice vertit et Commentarium addidit Joh. de Bourges, Paris. 1548 in-16°. — Comm. Galeni in hunc librum, Andr. Brentio interprete, Ludg. 1549 in-16°. — Jac. Sylvii Scholia in hunc Librum, Lugd. 1549 in-16. — Eust. Quercetanus, acroamatωn in librum Hippocratis de natura hominis Commentarius unus, Basil. 1549 in-8°.

[1] Il n'y a dans ce ms. que quelques lignes du traité.

[2] C'est le ms. de Copenhague dont j'ai inséré la description, t. I, p. 539.

—Stephani Paparellæ Commentarii II, Venet. 1551 in-4°.—Latine cum textu græco et paraphrasi, cura Hier. Massarii, Argent. 1558, 1564 in-4°.— Joh. Bapt. Montani perioche, Venet. 1560 in-8°. — Latine cum paraphrasi et explicatione Jacobi Scutellarii, Parm. 1568 in-8°. —Joh. Fr. Schrœter, Ienæ, 1585 in-8°, qui Scutellarii paraphrasin fere repetiit. — Jacob Segarra, in libros Galeni de naturalibus facultatibus Commentaria, Valent. 1596 et 1598 in-f°; continetur in hoc opere Hippocratis liber de natura humana cum Commentariis Salii et Segarræ. — Joh. Heurnius, in Hipp. Coi de hominis natura libros duos commentarius, Lugd. Bat. 1609 in-4° et in Opp. — Joh. Varandæus, physiologia et pathologia, Monspessuli, 1620. —Barth. Perdulcis in Jac. Sylvii anatomen et in libr. Hippocr. de natura humana commentarii, Paris. 1643 in-4°. —Cum Pauli Sismi commentario, Roterod. 1689 in-12.—Versuch einer kritisch-historischen Beleuchtung des dem Hippocrates zugeschriebenen Werkes Περὶ φύσιος ἀνθρώπου als dissertatio inauguralis von Dr. Albert Pettenkofer, München, 1837.—A. J. G. van Baumhauer, commentatio philosophico-literaria in librum qui inter Hippocraticos exstat, Περὶ φύσιος ἀνθρώπου, Trajecti ad Rhenum, 1843, in-8°.

ΠΕΡΙ ΦΥΣΙΟΣ ΑΝΘΡΩΠΟΥ.

1. Ὅστις [1] μὲν εἴωθεν ἀκούειν λεγόντων ἀμφὶ τῆς φύσιος τῆς ἀνθρωπίνης προσωτέρω ἢ ὁκόσον αὐτέης ἐς ἰητρικὴν ἐφήκει, [2] τουτέῳ μὲν οὐκ ἐπιτήδειος ὅδε ὁ λόγος ἀκούειν· οὔτε γὰρ τὸ [3] πάμπαν ἠέρα λέγω τὸν ἄνθρωπον εἶναι, οὔτε πῦρ, οὔτε ὕδωρ, οὔτε γῆν, [4] οὔτ' ἄλλο οὐδὲν, ὅ τι μὴ φανερόν ἐστιν ἐνεὸν ἐν τῷ ἀνθρώπῳ· ἀλλὰ τοῖσι βουλομένοισι ταῦτα λέγειν παρίημι. Δοκέουσι [5] μέντοι μοι οὐκ ὀρθῶς γινώσκειν οἱ τὰ τοιαῦτα λέγοντες· γνώμῃ μὲν γὰρ τῇ αὐτέῃ πάντες χρέονται, λέγουσι δὲ οὐ [6] ταὐτά· ἀλλὰ τῆς μὲν γνώμης τὸν ἐπίλογον τὸν αὐτὸν [7] ποιέονται. Φασί τε γὰρ ἕν [8] τι εἶναι, ὅ τί ἐστι, καὶ τοῦτ' εἶναι [9] τὸ ἕν τε καὶ τὸ πᾶν, κατὰ δὲ τὰ οὐνόματα οὐχ ὁμολογέουσιν· λέγει δ' αὐτέων ὁ μέν τις φάσκων ἠέρα [10] εἶναι τοῦτο τὸ ἕν τε καὶ τὸ πᾶν, [11] ὁ δὲ πῦρ, ὁ δὲ ὕδωρ, ὁ δὲ γῆν, καὶ ἐπιλέγει ἕκαστος τῷ ἑωυτοῦ λόγῳ μαρτύριά τε καὶ τεκμήρια, ἅ γέ ἐστιν οὐδέν. [12] Ὅτε γὰρ τῇ μὲν αὐτέῃ γνώμῃ πάντες χρέονται, λέγουσι δ' οὐ [13] τὰ αὐτὰ, δῆλον ὅτι [14] οὐδὲ γινώσκουσιν αὐτά. Γνοίη δ' ἄν τις τόδε μάλιστα παραγενόμενος [15] αὐτέοισιν ἀντιλέγουσιν· πρὸς γὰρ ἀλλήλους ἀντιλέγοντες οἱ αὐτοὶ [16] ἄνδρες τῶν αὐτέων ἐναντίον ἀκροατέων οὐδέποτε τρὶς ἐφεξῆς ὁ αὐτὸς περιγίνεται ἐν [17] τῷ λόγῳ, ἀλλὰ ποτὲ μὲν οὗτος ἐπικρατέει,

[1] Μὲν οὖν A. – ἀνθρωπείης A. – ὅσον A. – αὐτῆς A. – ἰητρὸν P'Q'. – ἀφήκει A, Gal. – ἀφίκει vulg. – ἐφίκει Zwing. in marg., Mack. – ἐφήκοι Hγ. – ὁ γὰρ λόγος ὁ περὶ τῆς φύσιος τοῦ ἀνθρώπου πολὺς καὶ δυσδιεξίτητος· δεῖ γὰρ οὖν τὸν ἀκροώμενον ὅσα ἀνήκει εἰς τὴν ἰατρικὴν, ταῦτα καὶ μόνα λέγειν, τὰ δὲ λοιπὰ ἐὰν ὡς ἀσυντελῆ πρὸς αὐτὸν in marg. G. — [2] τούτω A. — [3] πᾶν C. – τὸν om. Baumh. – Artemidore Capiton supprimait οὔτε γῆν, parce qu'il ne connaissait aucun livre ancien où il fût dit que la terre seule était un élément. Sabinus lisait : οὔτε γὰρ πάμπαν ἀέρα λέγω τὸν ἄνθρωπον, ὥσπερ Ἀναξιμένης, οὔτε ὕδωρ ὡς Θαλῆς, οὔτε γῆν ὡς ἔν τινι Ξενοφάνης. — [4] οὔτε AC, Mack. – ἐνεὸν A. – ἓν ἐὸν vulg. – Galien dit qu'on peut lire d'un seul mot ἐνεὸν ou de deux ἓν ἐὸν, mais qu'il vaut mieux lire de deux. Malgré l'opinion de Galien, ἐνεὸν me paraît la véritable leçon. — [5] μέντοι A. – δὲ vulg. – ταῦτα pro τὰ τ. A. – γὰρ om. ε. – αὐτῆ A. — [6] τὰ αὐτὰ Hγ, Gal. — [7] προΐενται A. – τε A. – τε om. vulg. — [8] τε pro τι, τοῦτο pro τοῦτ', et τὸ ἕν τε καὶ om. A. – τε pro τι Gal. – ὅπερ pro ὅ τι K. — [9] τὸ om. Gal. – τι pro τε C. – οὐνόματα AFJK, Ald., Frob., Zwing., Gal. – ὀν. vulg. – δὲ Gal., Lind. – αὐτῶν A. – φάσκων superfluum dicit in not. Foes., om. Lind. — [10] εἶναι τοῦτο Gal. in cit. de Elem. I, 3, Baumh. – τοῦτο εἶναι vulg. — [11] ὁ δὲ

DE LA NATURE DE L'HOMME.

1. (*Opinion de ceux qui pensent qu'il n'y a qu'une seule substance dans l'univers; vanité et inconsistance de ce système.*) L'auditeur habituel de ceux qui, dissertant sur la nature humaine, vont au delà de ses rapports avec la médecine, n'a aucun intérêt à entendre ce discours que je commence. Je dis en effet que l'homme n'est absolument ni air, ni feu, ni eau, ni terre, ni telle autre substance dont l'existence n'est pas manifeste dans le corps. Mais laissons dire là-dessus ce que l'on veut; toutefois ceux qui soutiennent de telles opinions ne me paraissent pas avoir des notions positives. Ils ont tous même idée, mais n'arrivent pas au même terme et n'en tiennent pas moins même raisonnement. Ils disent que ce qui est est un, étant à la fois l'un et le tout; mais ils cessent de s'entendre sur les noms : suivant l'un l'air est à la fois l'un et le tout, suivant l'autre c'est le feu, suivant un autre l'eau, suivant un autre la terre, et chacun appuie son raisonnement de témoignages et d'arguments qui sont sans valeur. Or, ayant tous même idée, mais n'arrivant pas au même terme, il est évident qu'ils n'ont pas non plus une notion positive. On s'en convaincrait surtout en assistant à leur controverse; car lorsque les mêmes argumentants dissertent devant les mêmes auditeurs, jamais le même n'est trois fois de suite victorieux dans son argumen-

ὕδ., ὁ δὲ πῦρ A. - ὁ μὲν πῦρ J. - ὁ δὲ ὕδ. om. ε. - τοῦ pro τῷ J. - γε om. AC. — [12] ὁπότε δὲ γνώμῃ τῇ αὐτῇ A. - ὅτι γὰρ τῇ μὲν B, Lind. - ὅτι μὲν γὰρ τῇ vulg. Il faut lire ὅτε ou ὁπότε; voy. pour ὅτε pris avec ce sens, p. 38, l. 6, et p. 42, l. 6. - τοιαύτῃ pro τῇ αὐτέῃ FGHJKγ - πάντες om. AEFGHJγε. - χρέονται δ, Gal. - προσχρέονται vulg. - προσχρέωνται Ald. — [13] ταυτὰ A. — [14] οὐ Jδ. - οὔτε Lind. - αὐτὰ om. A. - τὰ αὐτὰ P'. - ἄν τις τόδε B, Lind. - ἂν τῷ δέ (τόδε A, al. manu, FGL, Gal.) τις vulg. — [15] αὐτοῖσι A, Lind. - αὐτοῖς B. — [16] ἄνθρωποι CEFGHIJKLP'Q'γ. - τῶν αὐτῶν ἐν. ἀκροατῶν AB. - τρεῖς A, emend. al. manu, Frob., Foes 1595. - τοὺς pro τρὶς Ald. - Post αὐτὸς addit ἄνθρωπος vulg. - ἄνθρ. om. A. — [17] Post τῷ addit αὐτῷ vulg. - αὐτῷ om. A, Gal. - ὁτὲ (ter) B, Lind., Mack. - τότε (ter) A. - ἐπικρατέῃ A. - ἐπικρατεῖ B.

ποτὲ δὲ οὗτος, ποτὲ δὲ ᾧ ἂν τύχῃ μάλιστα ἡ γλῶσσα [1]ἐπιῤῥυεῖσα πρὸς τὸν ὄχλον. [2]Καίτοι δίκαιόν ἐστι τὸν φάντα ὀρθῶς [3]γινώσκειν ἀμφὶ τῶν πρηγμάτων παρέχειν αἰεὶ ἐπικρατέοντα τὸν λόγον τὸν ἑωυτοῦ, εἴπερ ἐόντα [4]γινώσκει καὶ ὀρθῶς ἀποφαίνεται. Ἀλλ' ἐμοί γε δοκέουσιν οἱ τοιοῦτοι ἄνθρωποι [5]αὐτοὶ ἑωυτοὺς καταβάλλειν ἐν τοῖσιν ὀνόμασι τῶν λόγων [6]αὐτέων ὑπὸ ἀσυνεσίης, τὸν δὲ Μελίσσου λόγον ὀρθοῦν.

2. Περὶ [7]μὲν οὖν τουτέων ἀρκέει μοι τὰ εἰρημένα. Τῶν δὲ ἰητρῶν οἱ μέν τινες λέγουσιν, ὡς [8] ὥνθρωπος αἷμα μοῦνόν ἐστιν, οἱ δ' αὐτέων χολήν φασιν εἶναι τὸν ἄνθρωπον, [9]ἔνιοι δέ τινες φλέγμα· ἐπίλογον δὲ ποιεῦνται καὶ οὗτοι πάντες τὸν αὐτόν· ἓν γάρ [10]τι εἶναί φασιν, ὅ τι ἕκαστος αὐτέων βούλεται ὀνομάσας, καὶ τοῦτο [11]ἓν ἐὸν μεταλλάσσειν τὴν ἰδέην καὶ τὴν δύναμιν, ἀναγκαζόμενον ὑπό τε τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, καὶ γίνεσθαι [12]καὶ γλυκὺ καὶ πικρὸν καὶ λευκὸν καὶ μέλαν καὶ παντοῖόν τι ἄλλο. [13]Ἐμοὶ δὲ οὐδὲ ταῦτα δοκέει ὧδε ἔχειν· οἱ μὲν οὖν πλεῖστοι τοιαῦτά τινα καὶ [14]ἔτι ἐγγύτατα τουτέων ἀποφαίνονται. Ἐγὼ δέ [15]φημι, εἰ ἓν ἦν ὁ ἄνθρωπος, οὐδέποτ' ἂν ἤλγεεν· [16]οὐδὲ γὰρ ἂν ἦν ὑφ' ὅτου ἀλγήσειεν ἓν ἐών· εἰ [17]δ' οὖν καὶ

[1] Ἐπιῤῥ. A. – ῥυεῖσα vulg. – τὸ pro τὸν C. — [2] καὶ τὸ FGIJ, Ald. – φήσαντα AB, Lind. — [3] Post γ. addunt ἐπαγγελλόμενόν τι EKγδε, Zwing. in marg. (ἐπαγγειλάμενον P'; sine τι Q'). – πρηγμ. Aγ, Ald. – πραγμ. vulg. – ἀεὶ Gal. – ἐπικρατέοντα Aγ, Gal. – ἐπικρατοῦντα vulg. — [4] γινώσκειν ε. – ἀποφαίνει Foes in notis. – ἔμοι γε AF. — [5] αὐτοὶ ἑωυτοὺς A. – αὐτοὶ σφᾶς αὐτοὺς Gal. (sine αὐτοὶ vulg.). — [6] αὐτῶν A. – συνισίης J. – ἐπανορθοῦν Gal. – Μέλισσος καὶ Παρμενίδης φυσικοὶ φιλόσοφοι· ὁ μὲν ἓν τὸ ὂν λέγων καὶ ἄπειρον· Παρμενίδης δὲ πολλὰ τὰ ὄντα καὶ πεπερασμένα. ἀμφότεροι δὲ ἐξελέγχονται ἀπὸ Ἀριστοτέλους τοῦ μεγάλου φιλοσόφου μὴ δοξάζοντες ὀρθῶς· ἀποδεικνύει γὰρ ὁ φιλόσοφος οὗτος ἐν τῇ φυσικῇ ἀκροάσει, ὅτι πάντα κατ' εἶδος τὰ ὄντα ὑπό τινα γένη ἀνάγεται, ὥστε δέκα εἰσὶ τὰ ὄντα καὶ πεπερασμένα in marg. δ. – D'après Mélissus, la substance unique qui composait le monde était non pas un des éléments tels que l'air, l'eau, le feu ou la terre, mais la base commune de tous les éléments. De la sorte les raisonneurs critiqués par Hippocrate, en admettant une substance unique et en donnant à cette substance tantôt le nom d'un élément, tantôt le nom d'un autre, justifiaient au fond le système de Mélissus. — [7] μὲν om. E. – οὖν om. Jε. – τούτων A. – ἀρκέει A, Gal. – ἀρκεῖ vulg. – τὰ μὴ εἰρ. pro μοι τὰ εἰρ. Ald. — [8] ὁ (ὁ om. Aε) ἄνθρ. vulg. – ὥνθρωπος C. – μοῦνον om. A. – αὐτῶν A. – φασιν om. Gal. in cit., Baumh. — [9] ἕτεροι pro ἔν. C. – ποιέονται A, Gal. – οὗτοι A. – αὐτοὶ vulg. — [10] τι om. A. – Post φ. addunt τὸν ἄν-

tation; mais tantôt l'un triomphe, tantôt l'autre, tantôt celui qui se trouve avoir le débit le plus facile devant la foule. Cependant on est en droit d'exiger de celui qui prétend avoir des notions positives sur les choses, qu'il fasse toujours triompher son argumentation, s'il s'appuie sur des réalités et s'il sait s'expliquer. Mais ces gens me semblent, par malhabileté, se réfuter eux-mêmes dans les termes mêmes de leur argumentation, et mettre sur pied le système de Mélissus (*voy. note* 6).

2. (*Extension du système de l'unité de substances à la médecine. Objection : si l'homme était un, il n'y aurait qu'une maladie et qu'un remède.*) Au reste, là-dessus je n'en dirai pas davantage. Quand aux médecins, suivant les uns l'homme n'est que sang, suivant les autres que bile, suivant d'autres que pituite; et eux aussi tiennent tous le même raisonnement. Ils prétendent, en effet, qu'il y a une substance unique (choisie et dénommée arbitrairement par chacun d'eux), et que cette substance unique change d'apparence et de propriété sous l'influence du chaud et du froid, devenant de la sorte douce, amère, blanche, noire, et tout le reste. A mon avis, cela non plus n'est point ainsi. En opposition à ces opinions et à d'autres très-voisines que la plupart soutiennent, moi je dis que, si l'homme était un, jamais il ne souffrirait; car où serait, pour cet être simple, la cause de souffrance? Admettant même qu'il souffrît, il faudrait que le remède fût un aussi. Or, les remèdes sont multiples. Il y a, en effet, dans le corps beaucoup de substances qui, s'échauffant et se refroidissant, se dessé-

θρωπον Q', Mack. - αὐτῶν βούλεται ὀνομάσας A. - ἠθέλησεν ὀνομάσαι (ὀνομάσαι ἠθέλησαν C) αὐτέων (ὀνομάσας sine αὐτέων δ) vulg. — [11] ἓν ἐὸν om. A. - ὂν C. - μεταλλάσσει ε. — [12] καὶ om. A. - τι ἄλλο om. AC. — [13] ἐ. δὲ οὐδέν τι (τοι al. manu) δοκ. ταῦτα οὕτως ἔχειν A. - οὐ pro οὐδὲ C. - οὕτως Gal. — [14] ἔτι om. A. - τούτων A. — [15] φησιν J. - ὤνθρωπος A. - οὐδέποτε Eγ. - ἄλγεεν (sic) A. - ἀλγήσειεν ἂν δ. — [16] οὐδὲ.... καὶ ἀλγήσειεν om. ε. - ἂν om. K. - ἦν ἂν A. - ὑφ' ὅτου Gal. - ὑφ' οὗ A. - ὑπό του vulg. - ὑπ' ὅτου Kühn, Baumh. - ἓν ἐὼν om. Ald. - ἕν.... ἀλγήσειεν om. FGHIJ. - ἐὼν Q'. - ἐὸν vulg. — [17] δ' ACEQ'γ, Gal., Zwing., Lind., Mack. - δ' om. vulg. - ἀλγήσειεν ACEKγ, Gal. - ἀλγήσει vulg.

ἀλγήσειεν, ἀνάγκη [1]καὶ τὸ ἰώμενον ἓν εἶναι· νυνὶ δὲ [2]πολλά· πολλὰ γάρ ἐστιν ἐν τῷ σώματι ἐνεόντα, ἃ, [3]ὁκόταν ὑπ' ἀλλήλων παρὰ φύσιν θερμαίνηταί τε καὶ ψύχηται, [4]καὶ ξηραίνηταί τε καὶ ὑγραίνηται, νούσους τίκτει· ὥστε πολλαὶ μὲν ἰδέαι τῶν [5]νουσημάτων, πολλὴ δὲ καὶ ἡ ἴησις αὐτέων ἐστίν. [6]Ἀξιῶ δὲ ἔγωγε τὸν φάσκοντα αἷμα εἶναι μοῦνον τὸν ἄνθρωπον, καὶ ἄλλο μηδὲν, δεικνύναι αὐτὸν [7]μὴ μεταλλάσσοντα τὴν ἰδέην μηδὲ γίνεσθαι παντοῖον, [8]ἀλλ' ἢ ὥρην τινὰ τοῦ ἐνιαυτοῦ ἢ τῆς ἡλικίης [9]τῆς τοῦ ἀνθρώπου, ἐν ᾗ αἷμα ἐνεὸν φαίνεται μοῦνον ἐν τῷ ἀνθρώπῳ· εἰκὸς [10]γὰρ εἶναι μίαν γέ τινα ὥρην, ἐν ᾗ φαίνεται αὐτὸ ἐφ' ἑωυτοῦ ἐνεόν· [11]τὰ αὐτὰ δὲ λέγω καὶ περὶ τοῦ φάσκοντος φλέγμα μοῦνον εἶναι τὸν ἄνθρωπον, [12]καὶ περὶ τοῦ χολὴν φάσκοντος εἶναι. Ἐγὼ μὲν γὰρ ἀποδείξω, ἃ ἂν φήσω τὸν ἄνθρωπον εἶναι, [13]καὶ κατὰ τὸν νόμον καὶ κατὰ τὴν φύσιν, ἀεὶ τὰ αὐτὰ ἐόντα ὁμοίως, καὶ νέου ἐόντος καὶ γέροντος, καὶ τῆς ὥρης [14]ψυχρῆς ἐούσης καὶ θερμῆς, καὶ τεκμήρια παρέξω, καὶ ἀνάγκας ἀποφανῶ, δι' ἃς ἕκαστον αὔξεταί τε καὶ φθίνει ἐν τῷ σώματι.

3. Πρῶτον μὲν [15]οὖν ἀνάγκη τὴν γένεσιν γίνεσθαι μὴ ἀφ' ἑνός· πῶς [16]γὰρ ἂν ἕν γ' ἐόν τι γεννήσειεν, εἰ μή [17]τινι μιχθείη; [18]ἔπειτα οὐδ',

[1] Δὲ καὶ FGIJ. – νῦν A – νυνὶ δὲ π. om. B. — [2] πολλὰ om. AHKγ. – ἐστιν AC, Gal. – εἰσιν vulg. – ἐνεόντα A, Gal. – ἐόντα vulg. — [3] ὅταν AB. – ἀπ' FGJ. – παραλλήλων B. — [4] καὶ om. CHIKγε, Gal. – τε om. A. – νόσους A, Gal. — [5] σωμάτων J. – νοσ., in marg. γέγρ. καὶ ἀλγημάτων γ. – καὶ om. A. – ἡ om. Gal. – αὐτέων om. AB. — [6] ἐξιῶ I. – δ' Aγ, Gal. – γε om., restit. al. manu A. – αἷμα μόνον εἶναι τὸν ἄνθρωπον καὶ ἄλλο μηδὲν εἶναι δεικνύειν αὐτὸν μέτε ἀλάσσοντα (sic) τὴν ἰδέην μήτε γίνεσθαι A. — [7] μὴ om. J, quæd. exempl. ap. Foes. in not. – γίγνεσθαι Gal., Mack. — [8] ἄλλην pro ἀλλ' ἢ EKγδε, Zwing. in marg. — [9] τῆς A, Gal. – αἷμα ἔτι ἐν. Eγε. – ἓν ἐὸν quæd. exempl. ap. Foes. in not. – φαίνηται A. — [10] Post γὰρ addit ἐστιν Gal. – γὰρ ἔς τινα (al. manu. ἔστιν τινὰ) ὥρην, in marg. γὰρ εἶναί τινα ὥρην A. – γε Gal. – γε om. vulg. – φαίνηται A. – αὐτὸ (αὐτῷ A) ἐν ἑωυτῷ (ἐν ἑαυτῷ A; ἐφ' ἑωυτῷ Gal.; ἐφ' ἑωυτοῦ Foes in not., Baumh.) ἓν (ἓν om. AC) ἐὸν (post ἐὸν addunt ὅ ἐστὶν A; ὅτι ἐστὶ EHKγδε) vulg. – Il faut lire d'un seul mot ἐνεόν. Quant à la locution ἐφ' ἑωυτοῦ, voy. p. 40, l. 7. — [11] καὶ pro τὰ Gal. – ταυτὰ δὲ λέγω ταῦτα A. – μοῦνον A. – μ. om. vulg. – τὸν ἄνθρ. AC, Gal., Mack. – τὸν ἄνθρ. om. vulg. – καὶ περὶ τοῦ φάσκοντος χολὴν εἶναι καὶ π. τ. φ. φλέγμα εἶναι EFGHIKγε. — [12] καὶ π. τ. φάσκ. χολὴν εἶναι C. – εἶναι A. – εἶναι om. vulg. — [13] καὶ om. CFIJ, Ald. – τὸν et τὴν om. Foes. in not., Lind. – εἰ (εἰ om. A; ἀεὶ BEHKγε, Gal., Zwing.) ταῦτα (τὰ αὐτὰ A BEHγ) ἐόντα ὅμοια (ὅμοια ἐόντα A; ὁμοίως EHγε, Gal., Zwing. in marg.) vulg. — [14] ψυχρῆς ἐούσης καὶ θ. A, Gal., Mack. – ἐούσης καὶ (καὶ om. E)

chant et s'humectant l'une l'autre contre nature, produisent des maladies ; d'où il suit qu'il y a beaucoup de formes de maladies et en même temps beaucoup de traitements pour ces formes ; suivant moi, soutenir que l'homme n'est que sang et rien autre chose, oblige à montrer qu'il ne change pas de forme ni ne prend toutes sortes de qualités, et à signaler une époque, soit dans l'année, soit dans l'âge, où le sang seul paraisse existant ; car il faut bien qu'il y ait au moins une époque où cette humeur se fasse voir exclusivement. Mon objection est la même contre ceux qui prétendent que l'homme n'est que bile ou pituite. Quant à moi, les principes que je dirai constituer l'homme et dans le langage habituel et dans la nature, je montrerai qu'ils sont constamment et identiquement les mêmes, et dans la jeunesse, et dans la vieillesse, et dans la saison froide, et dans la chaude ; je donnerai les signes et dévoilerai les nécessités de l'accroissement et de la diminution de chaque principe dans le corps.

3. (*La génération prouve que le corps humain n'est pas constitué par une seule substance.*) D'abord la génération

ψ. καὶ θ. vulg. – ἀποφηνῶ C. – δι' ἃς ἂν ἕ. αὔξηταί τε καὶ φθίνῃ Gal. – αὐξάνεται EP'γε. — [15] οὖν om. EFGHJKγε. – Ante γίν. addunt αὐτέου EHKγ, quæd. exempl. ap. Foes. in not., Gal., Lind., Mack. ; αὐτέω Q' – γενέσθαι A. — [16] γὰρ ἂν ἕν γ' ἐόν τι CE (F, γε ὄντα, supra lin. ὄντι) GHI (J γε ὄντα) Κε, Ald., Frob. – γὰρ ἕν γ' ἐόν (γε ὂν A ; γε ἐόν Gal.) τι vulg. – τοιαῦτα pro τι HKQ'γ, Lind. – γενήσῃ ἓν C. – Post γενν. addunt ἄλλο Gal., Mack., Baumh. — [17] τι pro τινι FGHJKγε, Ald. – παριστᾶ ὡς οὐχ ἓν ὁ ἄνθρωπος. εἰ γὰρ ἓν ἦν, εἰ μὴ ἐμίγνυτο ἑτέρῳ, πῶς ἂν ἐγέννα· οὐδὲ γὰρ ὁ σίτος ἕτερον ἂν γεννήσειε σίτον, εἰ μὴ συμμιχθείη τῇ γῇ· καὶ ὅτι τὰ ὁμόφυλα καὶ τὴν αὐτὴν ἔχοντα δύναμιν μιγνύμενα γεννῶσι· ὅταν γὰρ αἱ τέσσαρες ποιότητες, εἰ κατὰ τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐπὶ τὸ ξηρὸν καὶ τὸ ὑγρὸν μετρίως ἐν τῷ σπέρματι τῷ ἀνδρώω καὶ τῶ γυναικείω ἔχωσιν, ὡσαύτως δὲ μετρίως κατά τε τὸ ποσὸν καὶ τὸ πυκνὸν καὶ τὸ ἀραιὸν ἔχωσι, τότε καὶ ἡ σύλληψις γίνεται, ὅταν δέ τι τούτων ἄμετρον, τότε οὐδὲ σύλληψις γίνεται in marg. Jδ. — [18] εἴ που δ' ἐὰν A. – οὐδὲ ἂν vulg. – οὐδ' ἂν Gal., Mack. – Il faut lire οὐδ' ἐάν. – μίγνυται quæd. exempl. ap. Foes. in not. – γεννᾶι A. – Dans γεννᾶι, l'ι est écrit à côté au lieu de l'être au-dessous ; mais un correcteur mal habile a ajouté αν, de sorte que γεννᾷ devient γενναῖαν (γενναίαν), qui dès lors se rapporte à δύναμιν. C'est ainsi que les textes anciens se sont tant de fois altérés.

ἐὰν μὴ ὁμόφυλα ἐόντα μίσγηται καὶ τὴν αὐτὴν ἔχοντα δύναμιν, γεννᾷ, οὐδ' ἂν [1] ταῦτα ἡμῖν ξυντελέοιτο. [2] Καὶ πάλιν, εἰ μὴ τὸ θερμὸν τῷ ψυχρῷ καὶ τὸ ξηρὸν τῷ ὑγρῷ μετρίως πρὸς ἄλληλα ἕξει καὶ ἴσως, ἀλλὰ [3] θάτερον θατέρου πουλὺ προέξει καὶ [4] τὸ ἰσχυρότερον τοῦ ἀσθενεστέρου, ἡ γένεσις οὐκ ἂν γένοιτο. [5] Ὥστε πῶς εἰκὸς ἀπὸ ἑνός τι γεννηθῆναι, [6] ὅτε γε οὐδ' ἀπὸ τῶν πλειόνων γεννᾶται, ἢν μὴ τύχῃ καλῶς ἔχοντα τῆς κρήσιος [7] τῆς πρὸς ἄλληλα; Ἀνάγκη τοίνυν, τῆς φύσιος τοιαύτης ὑπαρχούσης καὶ τῶν ἄλλων [8] ἁπάντων καὶ τῆς τοῦ ἀνθρώπου, μὴ ἓν εἶναι τὸν ἄνθρωπον, ἀλλ' ἕκαστον τῶν [9] ξυμβαλλομένων ἐς τὴν γένεσιν ἔχειν [10] τὴν δύναμιν ἐν τῷ σώματι, οἵην περ ξυνεβάλετο. Καὶ πάλιν γε ἀνάγκη [11] ἀποχωρέειν ἐς τὴν ἑωυτοῦ φύσιν ἕκαστον, τελευτῶντος τοῦ σώματος τοῦ ἀνθρώπου, τό τε [12] ὑγρὸν [13] πρὸς τὸ ὑγρὸν καὶ τὸ ξηρὸν πρὸς τὸ ξηρὸν καὶ τὸ θερμὸν πρὸς τὸ θερμὸν καὶ τὸ ψυχρὸν πρὸς τὸ ψυχρόν. Τοιαύτη δὲ καὶ τῶν ζώων ἐστὶν ἡ φύσις, καὶ τῶν ἄλλων [14] πάντων· γίνεταί τε ὁμοίως πάντα καὶ τελευτᾷ ὁμοίως πάντα· [15] ξυνίσταταί τε γὰρ αὐτέων ἡ φύσις ἀπὸ τουτέων τῶν προειρημένων πάντων, καὶ τελευτᾷ κατὰ τὰ εἰρημένα ἐς τωὐτὸ ὅθεν περ [16] ξυνέστη ἕκαστον, ἐνταῦθα οὖν καὶ ἀπεχώρησεν.

4. Τὸ δὲ σῶμα τοῦ ἀνθρώπου ἔχει ἐν [17] ἑωυτῷ αἷμα καὶ φλέγμα

[1] T. om. A. – τὰ αὐτὰ Gal., Mack. – ξ. Gal., Lind. – σ. vulg. – συντελοῖτο A. – συνέλθοιτο K. – Galien s'étonne que cette phrase n'ait pas attiré l'attention des commentateurs; il dit qu'elle est obscure; qu'elle signifie sans doute que la copulation ne produirait pas un animal semblable aux parents; que d'ailleurs peut-être le texte est altéré. Il est singulier que Galien se soit mépris à ce point, ne voyant pas qu'il fallait lire non ταὐτὰ mais ταῦτα. Le sens n'est pas douteux; l'auteur veut dire que l'industrie humaine, même par son intervention, ne peut réussir à faire produire ensemble des espèces dissemblables. — [2] εἰ γὰρ μὴ sine καὶ πάλιν B. — [3] τὸ ἕτερον τοῦ ἑτέρου AB. – πουλὺ Fγ, Lind., Mack. – πολὺ vulg. — [4] τῷ Gal., Mack. – ἰσχυρὸν A. – ἡ om. EHKγε. — [5] ὅτε γ. – ἀφ' Gal., Zwing. in marg., Mack., Baumh. – γενηθῆναι Mack. — [6] ὅπου EQ', Gal., Zwing. in marg.. Lind., Mack. – ὅτι Jε. – γε om. A. – οὐδὲ Gal., Mack. – γίνεται A. – τύχῃς ε. — [7] τῆς om. Kühn. — [8] πάντων A. – ἀνθρώπων pro ἁπ. C. — [9] σ. Mack. – εἰς Gal. — [10] τὴν A. – τινὰ vulg. – ξυνεβάλετο Gal. – συνεβάλετο A. – ξυνεβάλλετο vulg. – Post ξ. addunt ὁ εὐσεβὴς λόγος J (δ, sine ὁ). — [11] ἀναχωρέειν A. – ἀποχωρεῖν B. – ἐς A, Lind. – εἰς vulg. – ἑαυτοῦ Gal. – τοῦ σώματος τοῦ AC, Gal. – τοῦ σ. om. BFGHJLγε, Lind., Mack. – τοῦ σ. τοῦ om. vulg. — [12] Post ὑ. addunt προσχωρῆσαι BEFGHIJKLγδε, Zwing. in marg., Lind., Mack. — [13] ἐς FGIJδ. – πρὸς τὸ ξηρὸν om. ε. — [14] ἁπάντων

ne peut se faire par un seul individu. Comment, en effet, un être unique engendrerait-il, sans s'unir à quelque autre? De plus, à moins que l'union ne soit d'êtres de même race et de même vertu, la génération ne se fait pas, et notre industrie même ne réussit pas à la procurer. D'autre part, si le chaud avec le froid, et le sec avec l'humide ne se correspondent pas avec modération et égalité, mais si l'un l'emporte de beaucoup sur l'autre, et le plus fort sur le plus faible, la génération ne s'effectue pas. De la sorte, comment pourrait-il y avoir génération par un seul être, puisqu'il n'y en a pas même par l'entremise de plusieurs, à moins qu'il ne se trouve entre eux la correspondance d'un juste tempérament? Puisque telle est la nature de tous les animaux et de l'homme en particulier, nécessairement l'homme n'est pas un, et chacun des principes qui concourent à la génération garde dans le corps la puissance suivant laquelle il y a concouru; nécessairement aussi chaque principe retourne à sa nature propre lorsque finit le corps humain, l'humide allant à l'humide, le sec au sec, le chaud au chaud et le froid au froid. Telle est aussi la nature des animaux et de toute chose; tout naît semblablement, et tout finit semblablement. Car la nature de tout est constituée par la combinaison de ces principes nommés plus haut, et d'après ce qui a été dit, elle y aboutit, retournant là d'où est venu chaque être composé.

4. (*Le corps humain est constitué par quatre humeurs, dont le juste tempérament est la condition de la santé.*) Le corps de l'homme a en lui sang, pituite, bile jaune et noire; c'est

Κγε, Gal. - γίγνεται Lind. - καὶ τελ. ὁμ. π. om. C. — [15] σ. A. - τε A. - τε om. vulg. - αὐτῶν A. - εἰρημένων A. - ἐς τωὐτὸ C, Baumh. - ἐς τὸ αὐτὸ A. - εἰς (ἐς Gal., Mack.) τὸ ἑωυτὸ vulg. - ἐς τὸ ὠυτὸ Lind. - ἐς τὸ τωυτὸ Kühn. - εἰς τὸ ἑωυτὸν J. - περ om. ε. - Baumhauer met le point après εἰρημένα. — [16] σ. A, Mack. - ξύνεστι Frob, Zwing. ξυνέστη in marg. - ἐν ταῦτα (sic) Lind. - οὖν om. C. — [17] ἑαυτῷ Gal. in cit. De plac. Hipp. et Plat. VIII, 4. - χολὴν διττὴν ἤγουν (ἤγ. om. ε; διτ. ἤγ. om. AC, Gal. ib.) vulg. - τε om. A. - ταῦτα A, Gal., Mack. - αὐτῷ ACFγ, Gal. ib. - αὐτέῳ om. quæd. exempl. ap. Foes. in not. - ἡ om. Gal. ib.

καὶ χολὴν ξανθήν τε καὶ μέλαιναν, καὶ ταῦτ' ἐστὶν αὐτέῳ ἡ φύσις [1]τοῦ σώματος, καὶ διὰ ταῦτα ἀλγέει καὶ ὑγιαίνει. [2]Ὑγιαίνει μὲν οὖν μάλιστα, ὁκόταν μετρίως ἔχῃ ταῦτα τῆς πρὸς ἄλληλα κρήσιος [3]καὶ δυνάμιος καὶ τοῦ πλήθεος, καὶ μάλιστα μεμιγμένα ᾖ· ἀλγέει [4]δὲ ὁκόταν τι τουτέων ἔλασσον ἢ πλέον ᾖ ἢ χωρισθῇ ἐν τῷ σώματι καὶ μὴ κεκρημένον ᾖ τοῖσι [5]ξύμπασιν. Ἀνάγκη γὰρ, ὁκόταν τι τουτέων χωρισθῇ καὶ ἐφ' ἑωυτοῦ στῇ, [6]οὐ μόνον τοῦτο τὸ χωρίον, ἔνθεν ἐξέστη, ἐπίνοσον γίνεσθαι, ἀλλὰ καὶ ἔνθα ἂν ἐπιχυθῇ, [7]ὑπερπιμπλάμενον ὀδύνην τε καὶ πόνον παρέχειν. Καὶ γὰρ ὅταν τι τουτέων ἔξω τοῦ σώματος ἐκρυῇ πλέον τοῦ ἐπιπολάζοντος, ὀδύνην παρέχει ἡ κένωσις. [8]Ἤν τ' αὖ πάλιν ποιήσηται ἔσω τὴν [9]κένωσιν καὶ τὴν μετάστασιν καὶ τὴν ἀπόκρισιν ἀπὸ τῶν ἄλλων, πολλὴ αὐτέῳ ἀνάγκη διπλῆν τὴν ὀδύνην παρέχειν κατὰ τὰ εἰρημένα, ἔνθεν τε ἐξέστη καὶ ἔνθα ὑπερέβαλεν.

5. [10]Εἶπον δὴ, ἃ ἂν φήσω τὸν ἄνθρωπον εἶναι, ἀποφανεῖν αἰεὶ ταὐτὰ ἐόντα [11]καὶ κατὰ νόμον καὶ κατὰ φύσιν· φημὶ [12]δὴ εἶναι αἷμα καὶ φλέγμα καὶ χολὴν ξανθήν [13]τε καὶ μέλαιναν. [14]Καὶ τουτέων πρῶτον μὲν κατὰ νόμον τὰ οὐνόματα διωρίσθαι φημὶ καὶ οὐδενὶ [15]αὐτέων

[1] Τοῦ σ. om. FGHJ. - δι' αὐτὰ A. - ταῦτ' Gal. in cit. ib. — [2] ὑγιαίνειν Gal. - ὅταν ABFHIJKγε, Gal. ib., Lind. - ταῦτα om. B. - χρήσιος Gal. - κρίσηος C. - κρήσιος καὶ om. A, Gal. in cit. ib. — [3] τε καὶ Lind., Baumh. - δυνάμεως B, Gal. ib. - Post μάλιστα addit ἦν vulg. (μὲν pro ἦν Gal. ib.). - ἦν om., εἰ supr. lin. al. manu A. - ἦν est inutile. - ᾖ om. J. — [4] δ' A, Gal. - ὅταν AB. - τούτων τι A. - πλέον Gal. ib. - πλεῖον vulg. - εἴη vulg. - εἴη pour ᾖ est une faute fréquente. - ᾖ ἢ om. A, Gal. ib. - κεκραμένον Gal. - κεκριμένον C. - μεμιγμένον Baumh. - τοῖς Gal. — [5] πᾶσιν A, Gal. ib. - ὅταν A. - τούτων τι A. - τούτων B. - ἑωυτοῦ ABEHKLγε, Gal. - ἑαυτοῦ Lind. - ἑωυτῶ CF. - ἑαυτῷ vulg. - μὴ στῇ FGIJL. — [6] οὐ μόνον τοῦτο τὸ χωρίον ἔνθεν ἐξέστη (τὸ χωρισθὲν pro τ. τ. χ. ἔν. ἐξ. Gal. ib.), ἐπίνοσον γίνεσθαι (γενέσθαι Gal. ib.), ἀλλὰ καὶ ἔνθα ἂν στῇ καὶ ἐπιχυθῇ (ἐπισχεθῇ, Gal. ib.) A. - ἔνθεν τε ἐξέστηκεν, οὐ μόνον τοῦτο τὸ χωρίον ἐπίνοσον γίγνεσθαι, ἀλλὰ καὶ ἔνθα στῇ καὶ ἐπιχυθῇ Gal. - ἔνθεν τε (τε om. E) ἐξέστηκεν, οὐ μόνον τοῦτο (τουτοὶ EFGHJKγε) τὸ χωρίον νοσερὸν (ἐπίνοσον Mack) γίνεται (γίνεσθαι Lind., Baumh.), ἀλλὰ καὶ ἔνθα (addunt ἂν CEFGHIγε, Ald.; ἂν στῇ καὶ Zwing. in marg., Lind., Mack., Baumh.) ἐπιχυθῇ vulg. — [7] ὑπερεκπιμπλάμενον Gal. - ὑπερπληρούμενον Q'. - ὑπερεμπιμπλάμενον K, Gal. ib. - ὁκόταν ε, Gal. - τούτων A. - πλέον A, Gal. ib. - πλεῖον vulg. - παρέχειν ε. - ἢ καὶ νόσον pro ἡ κένωσις Gal. ib. - D'après Gal., ἐπιπολάζον peut signifier ou ce qui surabonde ou ce qui

là ce qui en constitue la nature et ce qui y crée la maladie et la santé. Il y a essentiellement santé quand ces principes sont dans un juste rapport de crase, de force et de quantité, et que le mélange en est parfait; il y a maladie quand un de ces principes est soit en défaut soit en excès, ou, s'isolant dans le corps, n'est pas combiné avec tout le reste. Nécessairement, en effet, quand un de ces principes s'isole et cesse de se subordonner, non-seulement le lieu qu'il a quitté s'affecte, mais celui où il s'épanche s'engorge et cause douleur et travail. Si quelque humeur flue hors du corps plus que ne le veut la surabondance, cette évacuation engendre la souffrance. Si, au contraire, c'est en dedans que se font l'évacuation, la métastase, la séparation d'avec les autres humeurs, on a fort à craindre, suivant ce qui a été dit, une double souffrance, savoir au lieu quitté et au lieu engorgé.

5. (*Les quatre humeurs sont manifestement distinctes l'une de l'autre.*) J'ai promis de démontrer que les principes qui constituent l'homme suivant moi, sont toujours les mêmes, et dans le langage reçu, et dans la nature; or, je dis que ce sont le sang, la pituite, et la bile jaune et noire. Et d'abord, remarquons-le, dans l'usage ces humeurs ont des noms distincts qui ne se confondent pas; ensuite, dans la nature, les apparences n'en sont pas moins diverses, et ni la pituite ne res-

n'a pas subi la crase. — [8] ἤν τ' αὖ π. A, Zwing. in marg. - ἤν τ'αὖ ταῦτα π. Lind. - ἢν ταῦτα π. vulg. - ἢ ἢν ταῦτα πάλιν δ. - ἤν τ' αὖθις Gal. - εἴσω ποιήσηται AC, Gal. - ἔσω ποιήσηται τὴν κίνησιν Gal. ib. - εἴσω vulg. — [9] τήν τε κ. EFGHIJKγε - τὴν κ. τε C. - αὐτῶ Aγ. - γ' αὐτῷ Gal. ib. - ὑπερέβαλλεν Kühn. - ὑπερβάλλει C. - ἔνθα τε ἐξέστη καὶ ὅθεν ὑπ. Gal. ib. — [10] εἰπὼν δὲ ἃ A, Gal. in cit. De Hipp. et Plat. plac. VIII, 5. - ἣν pro ἃ K. - ἀποφανεῖν αἰεὶ (al. manu ἀποφανῆναί οἱ A), Gal. ib. - ἀποφαίνειν ἀεὶ (αἰεὶ C, Lind., Mack) vulg. - ταυτὰ Zwing. in marg. - ταῦτα vulg. — [11] καὶ om. A. - κ. κ. ν. om. C. — [12] δὲ A. - δ' C, Gal. ib. — [13] τε om. A. — [14] καὶ om. Gal. ib. - τούτων A. - τὸν νόμον vulg. - τὸν om. ABε, Gal., Lind., Mack. - Ante τὰ addunt καὶ B, Lind., Mack. - οὐνόματα AC, Ald., Frob., Zwing. - ὀνόματα vulg. - διεωρίσθαι Ald., Frob. - διηρῆσθαι Gal. ib. — [15] αὐτῶν AB. - τωὐτὸ C, Gal., Gal. ib., Kühn, Baumh. - τὸ ὠυτὸ (ὠυτὸ sine τὸ B) vulg. - τὸ αὐτὸ AFGJγε - ὄνομα AB, Gal.

τωὐτὸ οὔνομα εἶναι, ἔπειτα [1] κατὰ φύσιν τὰς ἰδέας κεχωρίσθαι, καὶ οὔτε τὸ φλέγμα [2] οὐδὲν ἐοικέναι τῷ αἵματι, οὔτε τὸ αἷμα τῇ χολῇ, οὔτε τὴν χολὴν τῷ φλέγματι. Πῶς γὰρ ἂν ἐοικότα [3] εἴη ταῦτα ἀλλήλοισιν, ὧν οὔτε τὰ χρώματα ὅμοια φαίνεται προσορώμενα, οὔτε τῇ χειρὶ [4] ψαύοντι ὅμοια δοκέει εἶναι; οὔτε γὰρ θερμὰ ὁμοίως ἐστὶν, οὔτε ψυχρὰ, οὔτε ξηρὰ, οὔτε ὑγρά. Ἀνάγκη τοίνυν, [5] ὅτε τοσοῦτον διήλλακται ἀλλήλων τὴν ἰδέην τε καὶ τὴν δύναμιν, μὴ ἓν αὐτὰ εἶναι, εἴπερ μὴ πῦρ τε καὶ [6] ὕδωρ ἕν τε καὶ ταὐτόν ἐστιν. Γνοίης δ' ἂν τοῖσδε, ὅτι οὐχ ἓν ταῦτα πάντα ἐστὶν, [7] ἀλλ' ἕκαστον αὐτέων ἔχει δύναμίν τε καὶ φύσιν τὴν ἑωυτέου· [8] ἣν γάρ τινι διδῷς ἀνθρώπῳ φάρμακον ὅ τι φλέγμα ἄγει, ἐμέεταί σοι φλέγμα, καὶ ἣν [9] διδῷς φάρμακον ὅ τι χολὴν ἄγει, ἐμέεταί σοι [10] χολή. Κατὰ ταὐτὰ δὲ καὶ χολὴ μέλαινα καθαίρεται, ἣν διδῷς φάρμακον ὅ τι χολὴν μέλαιναν ἄγει· καὶ ἢν τρώσῃς [11] αὐτοῦ τοῦ σώματος μέρος τι ὥστε ἕλκος γενέσθαι, ῥυήσεται [12] αὐτέῳ αἷμα. Καὶ ταῦτα ποιήσει σοι πάντα πᾶσαν ἡμέρην καὶ νύκτα καὶ χειμῶνος [13] καὶ θέρεος, μέχρις ἂν δυνατὸς ᾖ τὸ πνεῦμα ἕλκειν ἐς ἑωυτὸν καὶ πάλιν [14] μεθιέναι, δυνατὸς δὲ ἔσται ἔστ' ἄν τινος τουτέων στερηθῇ τῶν ξυγγεγονότων. [15] Ξυγγέγονε δὲ ταῦτα τὰ εἰρημένα· πῶς γὰρ οὐ ξυγγέγονε; Πρῶτον [16] μὲν φανερός ἐστιν ὥνθρωπος ἔχων ἐν ἑωυτῷ ταῦτα πάντα αἰεὶ ἕως ἂν ζῇ, ἔπειτα [17] δὲ γέγονεν ἐξ

[1] Κατὰ φ. (hic addit καὶ B) τὰς ἰδέας ABCFGHIJKγε, Gal, Gal. in cit. ib. - τὰς ἰδ. κατὰ φ. vulg. - κεχωρῆσθαι J. — [2] οὐθὲν CEFGJKγε, Ald., Frob., Zwing. - ἔοικεν τῶ αἵματι, οὔτε τῶ αἵματι (ἡ supr. lin. al. manu) χολὴ, οὔτε τὴν χολὴν τῶ φλέγματι A. — [3] ταῦτα εἴη ACγε. - ταῦτ' Gal. ib. - ταῦτα om. FGI. - τ. εἴη om. J. — φαίνονται EFGHIJKγ. - πρόσορ. φαίνεται A. — [4] ψαυόμενα EHKQ'γ, Zwing. in marg., Lind., Mack. - ψαυόμενον ε. - ψαυούσῃ Gal. ib. - ὅμοια δὲ (οὐ supra lin. al. manu) δοκεῖ εἶναι A. - οὔτε ξηρὰ οὔτε ψ. A. — [5] ὅτε AEFHIγε, Gal., Zwing. in marg. - ὅτι (οὔτε J) vulg. — [6] ὕ. ἕν τε καὶ τ. ἐστιν δ, Gal., Mack. - ὕ. ἕν ἐστι A. - ὕ. ταὐτόν ἐστι vulg. — [7] ἀλλὰ ἔχει δ. τε κ. φ. τὴν αὐτὴν ἕκαστον B. - αὐτέων om. A. - ἑωυτοῦ A, Gal. ib. — [8] εἰ AB, Gal. ib. - τι A. - διδοίης A, Mack. - δίδως vulg. - διδῷς Gal., Baumh. - ἀπεμέεται Gal., Mack. - ἀπεμεῖται B. - ἐμεῖται A, Gal. ib. — [9] διδῷς Gal., Gal. ib., Baumh. - δίδως vulg. - δίδοις A. - δοίης Mack. - ἐμεῖται A, Gal. ib. — [10] χολὴ (A, al. manu) FGHIK, Gal. - χολὴν vulg. - τὰ αὐτὰ Gal. - ταῦτα AC. - ταύτην FGHIJ, Zwing. in marg. - χολὴ μέλαινα καθαίρεται A. - χολὴν μέλαιναν καθαίρει vulg. - διδῷς Gal, Mack., Baumh. - δίδως vulg. - δίδοις A. — [11] αὐτοῦ ABε - αὐτέῳ vulg. - αὐτῶ CEFGIJKγ. - αὐτὸν quæd. exempl. ap. Foes. in not. - αὖ

semble au sang, ni le sang à la bile, ni la bile à la pituite. En effet, quelle similitude y aurait-il entre des substances qui ne présentent ni la même couleur à la vue, ni la même sensation au toucher, n'étant ni chaudes, ni froides, ni sèches, ni humides de la même manière? Il faut donc, avec une telle dissemblance d'apparence et de propriétés, qu'elles ne soient pas identiques, s'il est vrai que le feu et l'eau ne sont pas une seule et même substance. On peut se convaincre qu'elles ne sont pas en effet identiques, mais que chacune a une vertu et une nature particulière : donnez à un homme un médicament phlegmagogue, il vomit de la pituite : un médicament cholagogue, il vomit de la bile ; de même de la bile noire est évacuée si vous administrez un médicament qui agisse sur la bile noire ; enfin, blessez quelque point du corps de manière à faire une plaie, du sang s'écoulera. Et cela se produira devant vous chaque jour et chaque nuit, l'hiver comme l'été, tant que l'homme pourra attirer en lui le souffle et le renvoyer; il le pourra jusqu'à ce qu'il soit privé de quelqu'une des choses congénitales. Or, ces principes que j'ai dénommés sont congénitaux. Comment, en effet, ne le seraient-ils pas? D'abord, l'homme les a évidemment en lui sans interruption tant qu'il vit ; puis il est né d'un être humain les ayant tous, et il a été

σὺ pro αὐ. Gal. in cit. ib. – μέρος om. A. – τι om. ε. – ἕλκος A. – τραῦμα vulg. — [12] αὐτῷ A, Gal. ib. – ποιήσῃ C. – πάντα σοι Gal. – σοι om. Gal. ib. – τε καὶ νύκτα Gal., Mack., Baumh. — [13] τε καὶ Gal., Baumh. – ἤρεος (sic) pro θέρεος Gal. ib. – μέχρι, al. manu μέχρις A. – ἦν pro ᾖ C. – ἐς A, Gal., Mack. – εἰς vulg. — [14] μεθίεται (μεθιέναι C) εἰ δυνατὸς ἔσται CEFGHIJKγδε. – ᾗ pro δ. δὲ ἔ. A. – δ. δὲ ἔ. om. Ald. – καὶ δ. ἔσται Gal. ib. – τινος om. JK. – Ante τινος addit ὅλου ε. – τούτων A, Gal. ib. – ξυμγεγονότων A. – συγγ. Mack, Gal. ib. — [15] σ. Mack, Gal. ib. – γὰρ om. quæd. exempl. ap. Foes. in notis. — [16] μὲν γὰρ φανερῶς Gal. – φανερὸς AB, Mack, Baumh. – φανερὸν vulg. – φανερῶς Gal. ib. – ὤνθρωπος AC. – ὁ ἄνθρ. vulg. – ἐν om. E. – πάντα om. ε. – αἰεὶ CFγ, Gal., Ald., Mack. – ἀεὶ vulg. – ἰδεῖν pro αἰεὶ AB. – C'est sans doute ἀΐδια qu'il faut lire dans A au lieu de ἰδεῖν; voy. p. 49, n. 16. — [17] δὲ AC, Gal. – δὲ om. vulg. – τέθραπταί τε ἐν A. – ἔπειτα (addit δὲ C) τέθρ. ἐν vulg. – πάντα om., restit. al. manu A. – ὅσα ἐγώ φημί τε καὶ A. – νῦν om. C.

ἀνθρώπου ταῦτα πάντα ἔχοντος, τέθραπταί τε ἐν ἀνθρώπῳ ταῦτα πάντα ἔχοντι, [1]ὁκόσα ἔγω γε νῦν φημί τε καὶ ἀποδείκνυμι.

6. Οἱ δὲ λέγοντες ὡς [2]ἕν ἐστιν ὥνθρωπος, δοκέουσί μοι ταύτῃ τῇ γνώμῃ κεχρῆσθαι· ὁρέοντες τοὺς πίνοντας τὰ φάρμακα καὶ ἀπολλυμένους ἐν [3]τῇσιν ὑπερκαθάρσεσι, τοὺς μὲν χολὴν ἐμέοντας, τοὺς δέ τινας φλέγμα, [4]τοῦτο ἕκαστον αὐτέων ἐνόμισαν εἶναι [5]τὸν ἄνθρωπον, ὅ τι καθαιρόμενον εἶδον αὐτὸν ἀποθανόντα· καὶ οἱ τὸ αἷμα φάντες εἶναι τὸν ἄνθρωπον τῇ αὐτέῃ γνώμῃ χρέονται· ὁρέοντες ἀποσφαζομένους τοὺς ἀνθρώπους καὶ τὸ αἷμα ῥέον ἐκ τοῦ σώματος, τοῦτο νομίζουσιν εἶναι τὴν ψυχὴν [6]τῷ ἀνθρώπῳ· καὶ μαρτυρίοισι τουτέοισι πάντες χρέονται ἐν τοῖσι λόγοισιν. [7]Καίτοι τὸ μὲν πρῶτον ἐν τῇσιν ὑπερκαθάρσεσιν οὐδείς πω ἀπέθανε χολὴν μοῦνον καθαρθείς· ἀλλ' ὁκόταν τις πίῃ φάρμακον ὅ τι χολὴν ἄγει, πρῶτον μὲν χολὴν [8]ἐμέει, ἔπειτα δὲ φλέγμα· ἔπειτα [9]δὲ ἐπὶ τούτοισιν ἐμέουσί χολὴν μέλαιναν ἀναγκαζόμενοι, τελευτῶντες δὲ [10]καὶ αἷμα ἐμέουσι καθαρόν. Τὰ αὐτὰ δὲ πάσχουσι [11]καὶ ὑπὸ τῶν φαρμάκων τῶν τὸ φλέγμα ἀγόντων· πρῶτον μὲν γὰρ φλέγμα ἐμέουσιν, [12]ἔπειτα χολὴν ξανθὴν, [13]ἔπειτα μέλαιναν, τελευτῶντες δὲ αἷμα καθαρὸν, καὶ ἐν τῷδε ἀποθνήσκουσιν. Τὸ γὰρ φάρμακον, ὁκόταν ἐσέλθῃ ἐς τὸ σῶμα, πρῶτον μὲν ἄγει ὃ ἂν αὐτέῳ κατὰ φύσιν μάλιστα ᾖ [14]τῶν ἐν τῷ σώματι ἐνεόντων, ἔπειτα δὲ καὶ τἄλλα ἕλκει τε καὶ καθαίρει. Ὡς γὰρ τὰ φυόμενά τε καὶ σπειρόμενα, ὁκόταν ἐς τὴν γῆν ἔλθῃ, [15]ἕλκει ἕκαστον τὸ κατὰ φύσιν αὐτῷ ἐνεὸν ἐν τῇ γῇ, ἔνι δὲ καὶ ὀξὺ [16]καὶ πικρὸν καὶ γλυκὺ καὶ ἁλμυρὸν

[1] Ἃ ἐγώ τε φ. καὶ ἀπ. Gal. ib. — [2] ἐνέστιν J. – ὥνθρωπος AC. – ὁ ἄνθρ. L Q', Gal., Mack., Baumh. – ἄνθρ. sine ὁ vulg. – δοκεῦσι A. – ταύτῃ om. ε. – χρῆσθαι AC. – ὁρῶντες A. – Ante τὰ addit ἀνθρώπους A. – τὰ om. C. — [3] τοῖσι FJ. – καθάρθεσι FG (in marg. ὑπερκαθ. Hγ) IJδ. — [4] Post τ. addit δὲ A. – αὐτῶν A. – αὐτέω J. — [5] τὸν.... εἶναι om. γ. – ὅ τι καὶ καθ. A. – καθαιρήμενον (sic) C. – τοιαύτη pro τῇ αὐ. A. – χρῶνται, al. manu χρέονται A. – ὁρῶντες A. – ὁρ. γὰρ ἀποσφαζ. Lind., Mack. – ῥέον post σώματος J. — [6] ἐν τῷ vulg. – ἐν om. A. – μαρτυρίοι (sic) J. – τούτοισι χρῶνται sine πάντες A. — [7] καίτοι τὸ μὲν πρῶτον A. – καίτοι (καὶ C) πρῶτον μὲν vulg. – καὶ πρότερον μὲν EFGHIJKγε, Ald. – πρότερον Zwing. in marg. – ὑποκαθάρσεσιν E. – οὐδεὶς AKε, Gal. – οὐθεὶς vulg. – οὐχ εἷς FGIJL, Lind., Mack. – πως JK. – που Gal. – μοῦνον AC. – μόνον vulg. – μούνην Gal. – ὁπόταν A. – πίῃ τις A, Gal. — [8] ἐμέει ACEHIJKγε, Gal., Mack., Baumh. – ἐμέσει vulg. – δὲ καὶ φλ. AC (H, supra lin.) γε, Gal. — [9] δ' Gal., Mack. – δὲ om. A. – τούτοισιν A. – τῇ χολῇ pro τούτ. vulg. – ἐμέσουσι J. – καὶ χολὴν (H, supra lin.) K

nourri dans un être humain les ayant tous aussi, à savoir ces principes qu'ici je nomme et démontre.

7. Τὰ δὲ τοιάδε ἀνθρώποισιν ἀπὸ [7]ταυτομάτου ἐν τῇσι νούσοισι γίνεται καὶ ἀγαθὰ καὶ κακά· πυρέσσοντι μὲν καὶ χολῶντι [8]ἐν καιρῷ σκεδασθεῖσα ἔξω ἡ χολὴ, ἀγαθὸν, ὑπὸ τὸ δέρμα [9]κεχυμένη καὶ ἐσκεδασμένη [10]καὶ εὐπετεστέρη ἔχειν τε τῷ ἔχοντι, καὶ τῷ ἰωμένῳ ἴησθαι· κεχυμένη δὲ καὶ ἐσκεδασμένη, πρὸς ἕν τι τοῦ σώματος προσπεσοῦσα, κακόν. Κοιλίη ταραχθεῖσα ὑπὸ πλευρίτιδος ἐχομένῳ ἢ [11]περιπλευμονίης, ἢ ἐμπύῳ ἐόντι, κακόν· πυρέσσοντι δὲ ἢ τρῶμα [12]τετρωμένῳ κοιλίη ἀποξηρανθεῖσα, κακόν· ὑφύδρῳ καὶ σπληνώδεϊ [13]καὶ ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ ταραχθεῖσα ἡ κοιλίη ἰσχυρῶς, ἀγαθόν. Ἐρυσίπελας ἢν ἔξω κατακεχυμένον [14]ἔσω τράπηται, κακόν· [15]ἢν δ' ἔσω κατακεχυμένον ἔξω τράπηται, ἀγαθόν. Διαῤῥοίῃ δὲ ἐχομένῳ ἰσχυρῇ ὁ ἔμετος γενόμενος, ἀγαθόν. Γυναικὶ αἷμα [16]ἐμεούσῃ τὰ καταμήνια ῥαγῆναι, ἀγαθόν· ὑπὸ ῥόου δὲ [17]πιεζομένῃ, ἐς τὰς ῥῖνας ἢ [18]ἐς τὸ στόμα μεταπεσεῖν τὸν ῥόον, ἀγαθόν. Γυναικὶ ὑπὸ σπασμοῦ [19]ἐχομένῃ ἐκ τόκου πυρετὸν ἐπιγενέσθαι ἀγαθόν· [20]καὶ τετάνου

[1] Ὅτι L. – θεραπηΐης H. – εἰς IJK. – ἀνυστὸν θ. — [2] ἢ.... ξηραίνῃ θ, Mack. – ἢ.... ξηραίνῃ om. vulg. — [3] ἃ θ, Mack. – ἃ om. vulg. – δέῃ vulg. – δέοι K. – προσφέρει J. – λεπτύνει J. — [4] ψύχων Codd. – ψύχει J. — [5] θερμαίνων Codd. – θερμαίνει J. — [6] σήπων Codd. – σήπει J. – τούτοις θ. — [7] τοῦ αὐτομάτου Hθ. – γίνεται καὶ ἀγαθὰ καὶ κακὰ θ. – γίνονται (γίνεται HJ) τά τε κακὰ καὶ τὰ ἀγαθὰ vulg. — [8] ἐν κ. om. θ. — [9] Ante κ. addit δὲ vulg. – δὲ om. θ. — [10] καὶ θ. – καὶ om. vulg. – εὐπετεστέρη θ, Mack. – εὐπετεστέρα vulg. – εὐπετέστερα Kühn. – ἰᾶσθαι θ. — [11] περιπν. vulg. – ἐν πύω H. — [12] ἐσχηκότι al. manu H. – κοιλίη om. θ. – ὑφ' ὕδρω θ. – ὑφ' ὕδρωπι EP′, Mack. – ὑφ. δὲ καὶ Lind. — [13] καὶ ὑπὸ EHQ′, Mack. – καὶ om. vulg. – [ἢ] Lind. — [14] ἔσω.... κατακεχυμένον om. GIJK. — [15] ἔσω δὲ καταχ. ἔξω τραπῆναι θ. – καταρροίῃ G. – δ' E. – ἄνω pro ὁ θ. – ὁ om. E. — [16] αιμευση (sic) θ. — [17] ἐχομένῃ Lind. – ῥίνας EHJ θ, Ald. — [18] εἰς IJKθ. — [19] ἐχομένῃ EHP′θ. – πιεζομένῃ vulg. — [20] καὶ.... ἀγαθὸν om. FK.

faisables, discerner celles qui ne le sont pas et pourquoi elles ne le sont pas (Des artic. § 58, t. IV, p. 253), et en ces cas procurer aux patients toute l'amélioration compatible avec la lésion qu'ils portent. Quant aux choses administrées aux malades, on distinguera ainsi ce qui est droit et ce qui est de travers : humecter ce qui doit être desséché, dessécher ce qui doit être humecté, ne pas administrer, dans les cas où il convient de donner de l'embonpoint, ce qui donne de l'embonpoint, ne pas amaigrir ce qui doit être amaigri, ne pas refroidir ce qui doit être refroidi, ne pas échauffer ce qui doit être échauffé, ne pas mûrir ce qui doit être mûri, et ainsi du reste.

7. (*Biens ou maux survenant spontanément dans les maladies.*) Voici des biens et des maux qui surviennent spontanément aux patients dans les maladies : chez un homme fébricitant et que la bile tourmente, si la bile se porte au dehors en temps opportun, cela est favorable, étant alors répandue et dissipée sous la peau, et plus facile à supporter pour le malade, à guérir pour le médecin; mais répandue et dissipée, si elle se jette sur quelque point du corps, cela est fâcheux. Il est mauvais que, dans une pleurésie ou une péripneumonie ou un empyème, le ventre se dérange (Aph. vi, 16); mais chez un fébricitant ou un blessé la constipation ne vaut rien. Dans l'hydropisie, dans l'affection de la rate, dans la leucophlegmasie, une violente diarrhée est avantageuse (Aph. vii, 19). Il est fâcheux qu'un érysipèle répandu au dehors rentre en dedans, mais avantageux que du dedans il vienne au dehors (Aph. vi, 25; Coa. 360). Le vomissement qui survient dans une forte diarrhée (Aph. vi, 15) est favorable. Chez une femme vomissant du sang il est bon que les règles fassent éruption (Aph. v, 32); chez une femme qui est affectée de perte, il est bon que le flux se transporte sur les narines ou sur la bouche. Chez une femme prise de spasme après l'accouchement il est bon que la fièvre survienne; il est bon encore que la fièvre survienne durant le tétanos ou le spasme (Aph.

ἔχοντος καὶ σπασμοῦ, πῦρ ἐπιγενέσθαι ἀγαθόν. Τὰ [1]γὰρ τοιαῦτα δι' οὐδεμίην οὔτε ἀμαθίην οὔτε σοφίην ἰητρῶν γίνεταί τε καὶ οὐ γίνεται, ἀλλ' ἀπὸ τοῦ αὐτομάτου καὶ ἐπιτυχίης, [2]καὶ γενόμενά τε ὠφελέει [3]ἢ βλάπτει, [4]καὶ οὐ γενόμενα ὠφελέει ἢ βλάπτει κατὰ τὸν αὐτὸν λόγον.

8. Ἐπιτυχίῃ δὲ τὰ τοιάδε οἱ ἰητροὶ ποιέουσιν ἐν τῇ [5]θεραπείῃ ἀγαθά· ἄνω φάρμακον δόντες, καθαίρουσι καὶ ἄνω καὶ κάτω καλῶς· καὶ γυναικὶ φάρμακον δόντες κάτω χολῆς ἢ φλέγματος, ἐπιμήνια οὐ γίνομενα κατέῤῥηξαν· καὶ σπλῆνα ἔμπυον ἔχοντι κάτω φάρμακον δόντες [6]ὥστε χολὴν καὶ φλέγμα καθῆραι, πῦος κάτω ἐκάθηραν ἐκ τοῦ σπληνὸς καὶ ἀπήλλαξαν τῆς νούσου· καὶ λιθιῶντι φάρμακον δόντες, [7]τὸν λίθον ἐς τὸν οὐρητῆρα προσέωσαν ὑπὸ βίης τοῦ φαρμάκου, ὥστε ἐξουρηθῆναι· καὶ πῦον ἔχοντι ἐν τῇ ἄνω κοιλίῃ ἐν φύματι, οὐκ εἰδότες ὅ τι ἔχει, δόντες ἄνω φάρμακον ὅ τι φλέγμα καθαίρει, [8]ἤμεσε τὸ πῦον καὶ ἐγένετο ὑγιής· καὶ ἐκ φαρμάκου ὑπερκαθαιρόμενον ἄνω θεραπεύοντες, καταῤῥαγείσης τῆς κοιλίης ἀπὸ [9]ταυτομάτου, ὑγιέα ἐποίησαν τοῦ ἐμέτου. [10]Κακὰ δὲ τάδε ἀπεργάζονται ἀπὸ ἀτυχίης· φάρμακον δόντες ἄνω χολῆς ἢ φλέγματος, [11]φλέβα ἐν τοῖσι στήθεσιν ἔῤῥηξαν [12]ὑπὸ τοῦ ἐμέτου, οὐδὲν ἔχοντος πρόσθεν ἄλγημα ἐν τῷ στήθει φανερὸν, καὶ ἐγένετο νοῦσος· καὶ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἄνω φάρμακον δόντες, [13]κάτω ῥαγεῖσα ἡ κοιλίη ἐξέτρωσε τὸ ἔμβρυον· καὶ ἔμπυον θεραπεύοντι ἡ κοιλίη ῥυεῖσα διαφθείρει· καὶ ὀφθαλμοὺς θεραπεύοντι καὶ ὑπαλείψαντι ὀδύναι ἐνέπεσον ὀξύτεραι, [14]κἢν οὕτω τύχῃ, ῥήγνυνται οἱ ὀφθαλμοὶ, καὶ ἀμαυροῦνται, καὶ αἰτιῶνται τὸν ἰητρὸν, ὅτι ὑπήλειψε· καὶ [15]λεχοῖ ἐπὶ γαστρὸς ὀδύνῃ, ἢν

[1] Γὰρ om. θ. – οὐδὲ μίαν θ. – ἀμαθίαν οὔτε σοφίαν ἰατρῶν J. – ἀλλὰ K. – ταυτομάτου J. – καὶ ἀπὸ ἐπιτυχίης θ. – καὶ ἀπὸ τύχης J. — [2] καὶ θ. – καὶ om. vulg. — [3] ἢ θ. – καὶ vulg. — [4] καὶ.... βλάπτει θ. – καὶ.... βλάπτει om. vulg. – τὰ ἐξ ἐπιτυχίας καλὰ in marg. E. — [5] θεραπίῃ θ. — [6] ὥστε om., restit. al. manu E. – πύος vulg. – πῦος Kühn. – πῦον Eθ, Mack. – ἐκ EHQ'θ, Lind. – ἀπὸ vulg. – ὑπὸ P', Mack. – τῆς pro τοῦ K. – νόσου GIJK, Ald., Frob. — [7] τὴν θ. – προέωσαν (E, emend. al. manu) Hθ. — [8] ἔμεσε E. – ἐξήμεσε al. manu H. – ἐξουν (sic) ἤμεσε θ. — [9] τοῦ αὐτομάτου θ. – ὑγιᾶ (ὑγιαία θ) ἐπ. τοῦ ἐμ. Hθ. – τοῦ (ἀπὸ τοῦ Lind.) ἐμ. ὑγιᾶ ἐπ. vulg. — [10] κατὰ θ. – ἀπεργάζεται J. – In marg. τὰ ἐξ ἀποτυχίης κακὰ E. – ἄνευ pro ἄνω J. — [11] φλέγμα pro φλ. H. – ἔρηξαν J. — [12] ἀπὸ EP'Q'. – τῷ om. J. – οὕτως pro νοῦσος J. — [13] καταῤῥαγεῖσα L. – ἐξέτρωται sine τὸ θ. – θεραπεύοντες K. – θεραπεύοντα J. – ἡ om. θ. — [14] καὶ ἢν θ. – ῥήγνυται τὲ ὁ ὀφθαλμὸς θ. – ἀμαυροῦται, al. manu ροῦν H. – ὑπείληψεν H. — [15] δέχοι (sic) θ. – ἐπὶ om. (E

IV, 57 ; Coa. 348). De tels phénomènes se montrent, non par aucune ignorance ou habileté des médecins, mais spontanément et par fortune; et, se montrant, ils sont soit utiles soit nuisibles, ou, ne se montrant pas, ils sont soit utiles soit nuisibles par même raison.

8. (*Bien et mal que le médecin fait par hasard.*) Voici des cas où les médecins font du bien dans le traitement par hasard : donnant un vomitif, ils évacuent avec succès et par le haut et par le bas; donnant à une femme un purgatif cholagogue ou phlegmagogue, ils ont déterminé l'éruption des règles qui ne venaient pas; donnant à un patient affecté d'abcès de la rate un purgatif destiné à évacuer la bile et le phlegme, ils ont fait sortir par les selles le pus de la rate et délivré le patient de son mal; donnant un évacuant à un calculeux, ils ont poussé par la force du médicament la pierre dans l'urèthre, de sorte qu'elle est sortie avec l'urine; un malade ayant du pus dans le ventre supérieur (*poitrine*) en une collection, ils donnent, sans savoir cette circonstance, un vomitif phlegmagogue, le malade vomit le pus et se trouve guéri; un malade, à la suite d'un vomitif, étant pris de vomissements excessifs (t. IV, p. 199, § II), ils le traitent; des déjections abondantes surviennent spontanément, et le vomissement se trouve guéri. En revanche voici des maux causés par un hasard malheureux : on donne un vomitif cholagogue ou phlegmagogue, le vomissement rompt une veine dans la poitrine, sans qu'auparavant le patient eût aucune douleur apparente en cette partie, et une maladie s'ensuit; on donne un vomitif à une femme enceinte, il survient un flux de ventre, et elle avorte; on traite un empyème, le flux de ventre arrive et emporte le malade; on traite les yeux et on y fait des applications, les douleurs deviennent plus aiguës, et,

restit. al. manu) FGHJθ, Ald. – ὀδύνη L, Lind., Mack. – ὀδύνης vulg. – δοίη vulg. – δοι (sic) θ. – Struve, ib. p. 247, veut qu'on lise δῴη; ce qui est très-bon sans doute; mais δῷ (δοι) est donné par un ms.

δῷ τι ὁ ἰητρὸς, [1]καὶ κακῶς σχῇ, ἢ [2]καὶ ἀπόληται, ὁ ἰητρὸς αἴτιος. Σχεδὸν δὲ ὅσα ἀνάγκας ἔχει ὥστε γίνεσθαι ἐν τοῖσι [3]νουσήμασι καὶ τρώμασι κακὰ ἐπὶ κακοῖσι, τὸν ἰητρὸν αἰτιῶνται τούτων [4]γινομένων, καὶ τὴν ἀνάγκην τὴν [5]τὰ τοιαῦτα ἀναγκάζουσαν γίνεσθαι οὐ γινώσκουσιν. Καὶ ἢν [6]ἐπὶ πυρέσσοντι ἢ τρῶμα ἔχοντι, ἐσελθὼν καὶ προσενέγκας, τὸ πρῶτον μὴ ὠφελήσῃ, ἀλλὰ τῇ ὑστεραίῃ κάκιον ἔχῃ, τὸν ἰητρὸν αἰτιῶνται· ἢν [7]δὲ ὠφελήσῃ, τοῦτο [8]δὲ οὐχ [9]ὁμαλῶς ἐπαινέουσι· [10]χρεὼν γὰρ πεπονθέναι αὐτὸν δοκέουσι· τὰ [11]δὲ ἕλκεα φλεγμαίνειν, καὶ ἐν τῇσι νούσοισιν [12]ἔστιν ᾗσιν ὀδύνας γίνεσθαι, ταῦτα δὲ οὐ δοκέουσι χρεὼν εἶναι γίνεσθαι αὐτοῖσιν, οὐδὲ τὰ τοιάδε ὥστε γίνεσθαι· [13]νεῦρον διακοπὲν μὴ ξυμφῦναι, μηδὲ κύστιν, μηδὲ ἔντερον, ἢν ᾖ τῶν λεπτῶν, μηδὲ φλέβα αἱμόῤῥοον, μηδὲ γνάθου τὸ λεπτὸν, μηδὲ τὸ ἐπὶ τοῦ αἰδοίου δέρμα.

9. Ἀρχὴ δὲ ἰήσιος ἀποδεδειγμένη μὲν οὐκ ἔστιν, ἥτις ὀρθῶς ἀρχή ἐστι [14]πάσης τῆς τέχνης, οὐδὲ δεύτερον οὐδὲν, οὐδὲ μέσον, οὐδὲ τελευτή· ἀλλὰ ἀρχόμεθά τε [15]αὐτῆς, ἄλλοτε λέγοντες, ἄλλοτε ἐργαζόμενοι, καὶ τελευτῶμεν ὡσαύτως· καὶ οὔτε λέγοντες ἀρχόμεθα ἐκ τῶν αὐτῶν λόγων, οὐδ' ἢν [16]περὶ τῶν αὐτῶν λέγωμεν, οὐδὲ ἐς τοὺς αὐτοὺς τελευτῶμεν· καὶ ἐργαζόμενοι, κατὰ τὸν αὐτὸν λόγον οὔτε ἀρχόμεθα ἐκ τῶν αὐτῶν ἔργων, οὔτε τελευτῶμεν ἐς [17]τὰ αὐτά.

[1] Καὶ ἢν EP'. – ἔχῃ θ. — [2] καὶ om. θ. – ἀπόληται Hθ. – ἀπόλλυται vulg. – δ' θ. — [3] νοσ. EHθ. — [4] γεν., al. manu γιν. I. — [5] τὰ τ. om. EP'. — [6] ἐπιπυρέσσοντι H. – πυρέσσοντα ἢ τ. ἔχοντα θ, Mack. – εἰσελθὼν EJ. – ὑστερέῃ, al. manu ραί H. – κακειον (sic) θ. — [7] δ' EHθ, Mack. — [8] δὴ Lind. – δὲ est en effet pris dans le sens de δέ; mais il n'y a rien à changer. — [9] ὁμοίως θ. – Érot. p. 266 : Ὁμαλῶς, ὁμοίως. Gal. Gloss. : Ἀμαλῶς, τό τε ἁπαλῶς, ὅπερ ἴσον δύναται τῷ μετρίως, ὡς ἐν τῷ Περὶ ἐμπύων, Τοῦτο δὲ ἀμαλῶς ἐπαλλέουσι (sic). Καὶ τὸ ῥᾳδίως, ὥσπερ ἐν τῷ πρώτῳ περὶ νούσων τῷ μείζονι, Καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ ἀμαλῶς ὁρᾷ. Καὶ ἐν τῷ δευτέρῳ μείζονι, Καὶ τὰ σιτία οὐχ ἀμαλῶς προσίεται. – ἀμαλῶς n'est donné par aucun de nos manuscrits. — [10] χρεων θ. – χρὴν vulg. – χρῆν Mack. – χρὴ EFGHIJK, Ald. – χρῆναι Lind. — [11] δ' θ. – φλεγμαίνειν θ, Mack. – φλεγμαίνει vulg. — [12] ἔστιν ᾗσιν ὀδύνας γίνεσθαι, ταῦτα δὲ οὐ δοκέουσι χρεων (sic) εἶναι γίνεσθαι αὐτοῖσιν, οὐδὲ τὰ τοιᾶδε (sic) ὥστε γίνεσθαι θ. – ἔστιν ὀδύνας ᾗσι (ᾗσιν ὀδύνας EH) (ᾗσι om. P') χρὴ γίνεσθαι αὐτοῖσιν, οὐδὲ τὰ τοιάδε ὥστε μὴ γίνεσθαι vulg. — [13] ν. ἢν διακοπῇ, μὴ συμφῦναι (ξυνφῦναι θ), μὴ δὲ κύστιν, μὴ δὲ ἔντερον (μὴ δ' ἔντερα θ), ἢν μὴ (ἢν ᾖ θ) τῶν λεπτῶν, μὴ δὲ φλέβα αἱμόρροον, μὴ δὲ γνάθου τὸ λεπτὸν, μὴ δὲ τὸ ἐπὶ τοῦ αἰδοίου (αἰδ. om., restit. al. manu E) δέρμα EHθ. – ν. διακοπὲν οὐ συμφύει (συμφύεται L), οὐδὲ κύστις, οὐδὲ τῶν

si le sort le veut ainsi, l'œil se rompt, la vue se perd, et le médecin est accusé parce qu'il a fait telle application; ou bien, le médecin donne quelque chose à une femme en couche qui souffre du ventre, elle va mal ou même elle meurt, c'est le médecin qui en est accusé. En général, les maux qui nécessairement surviennent aux maux dans les maladies et les plaies, sont, survenant, imputés au médecin, et on ignore la nécessité qui détermine ces phénomènes. Un médecin, visitant un fébricitant ou un blessé, fait une prescription, le patient n'en est pas soulagé tout d'abord, mais il va plus mal le lendemain, on accuse le médecin; si au contraire il y a soulagement, l'éloge est loin d'être pareil, car on se figure qu'il devait en arriver ainsi. Mais que des plaies s'enflamment, que dans certaines maladies des douleurs surviennent, c'est ce que les patients ne se figurent pas leur devoir arriver nécessairement, comme il arrive nécessairement qu'une partie nerveuse tranchée ne se réunit pas (Aph. VI, 19; Coa. 494), non plus que la vessie, que l'intestin, si c'est un des intestins grêles (Aph. VI, 24; Coa. 493), qu'une veine à hémorrhagie, que la portion mince de la joue, que la peau qui est aux parties génitales (Aph. VI, 19; Coa. 494).

9. (*Il n'y a point en médecine de précepte général.*) Il n'est point, dans le traitement, de commencement démontré qui, à droit, soit le commencement de toute la médecine, il n'est rien qui soit le second point, le milieu ou la fin; mais nous entamons la chose, tantôt en parlant, tantôt en agissant, et nous la terminons de même; et, parlant, nous ne l'entamons ni ne la terminons par les mêmes discours, fût-il question des mêmes objets; et, agissant, semblablement nous ne l'entamons ni ne la terminons par les mêmes actes.

ἐντέρων τι (ἔντερον ἦν μὴ pro τῶν ἐντ. τι GIJK, Ald.) τῶν λεπτῶν, οὐδὲ φλὲψ αἱμόῤῥους (αἱμόῤῥοος Lind.), οὐδὲ γν. τὸ λ., οὐδὲ τὸ ἐπὶ τ. αἰ. δ. vulg. — [14] Ante π. addit ἀποδεδειγμένη θ. — [15] αὐτὸς (sic) θ. – αὐτῶν Lind. – ἄλλό τε (bis) EJ. — [16] περὶ GHJKθ, Ald. – π. om. vulg. – λέγομεν H. – οὐδ' EHθ. – ἐς IJKθ, Lind., Mack. – εἰς vulg. — [17] ταῦτα θ.

10. Εὐχειρίη δέ ἐστι τὰ τοιάδε· ὅταν τις [1]τάμνῃ ἢ καίῃ, μήτε νεῦρον τάμνειν ἢ καίειν, μήτε φλέβα· καὶ ἢν ἔμπυον καίῃ, [2]ἐπιτυγχάνειν τοῦ πύου, καὶ τάμνοντα [3]δὲ κατὰ τὸν αὐτὸν λόγον· καὶ τὰ κατήγματα συντιθέναι ὀρθῶς· καὶ ὅ τι ἂν τοῦ σώματος [4]ἐκπέσῃ ἐκ τῆς φύσιος, ὀρθῶς ἐς τὴν φύσιν τοῦτο ἀπῶσαι· λαβεῖν τε ἃ δεῖ ἰσχυρῶς, καὶ [5]λαβόντα πιέζειν, [6]καὶ ὅσα ἀτρέμα [7]λαβεῖν, καὶ λαβόντα μὴ πιέζειν· καὶ ἐπιδέοντα στρεβλὰ μὴ [8]ποιέειν ἐξ εὐθέων, [9]μηδὲ πιέζειν ἃ μὴ δεῖ· καὶ ψαύοντα ὅκου ἂν ψαύῃ, μὴ ὀδύνην παρέχειν ἐκ περισσοῦ. Ταῦτα μὲν οὖν ἐστιν εὐχειρίη· τὸ δὲ τοῖσι δακτύλοισιν εὐσχημόνως λαμβάνειν, ἢ καλῶς ἢ μὴ καλῶς, ἢ [10]μακροῖσιν ἢ βραχέσιν, ἢ καλῶς ἐπιδεῖν, καὶ ἐπιδέσιας παντοίας, οὐ πρὸς [11]τῇ τέχνῃ κρίνεται εὐχειρίης πέρι, ἀλλὰ χωρίς.

11. [12]Ὁκόσοι ἔμπυοι γίνονται τὸν [13]πλεύμονα, ἢ τὴν ἄνω ἢ τὴν κάτω κοιλίην, ἢ φύματα ἴσχουσιν [14]εἴτε ἐν τῇ ἄνω κοιλίῃ [15]εἴτε ἐν τῇ κάτω, ἢ ἐν [16]τῷ πλεύμονι, ἢ ἕλκεα ἔνδοθεν, ἢ αἷμα [17]ἐμέουσιν ἢ πτύουσιν, ἢ [18]ἄλγημά τι ἔχουσιν [19]ἢ ἐν τοῖσι στήθεσιν [20]ἢ [21]ἐν τοῖσιν ὄπισθεν ἐν τῷ νώτῳ, ταῦτα πάντα ἴσχουσι, τῶν μὲν ἐν [22]τῷ σώματι ἐνεόντων, ἀπὸ χολῆς καὶ φλέγματος, τῶν δὲ ἔξωθεν, ἀπὸ [23]τοῦ ἠέρος ἐπιμιγνυμένου τῷ συμφύτῳ θερμῷ, ἀτὰρ καὶ ἀπὸ πόνων καὶ τρωμάτων.

12. Καὶ [24]ὁκόσοι μὲν τὸν πλεύμονα ἔμπυοι γίνονται, ἀπὸ τῶνδε γίνονται· ἢν περιπλευμονίῃ ληφθεὶς μὴ καθαρθῇ ἐν τῇσι κυρίῃσιν ἡμέρῃσιν, ἀλλ' [25]ὑπολειφθῇ ἐν τῷ πλεύμονι πτύαλόν τε καὶ φλέγμα

[1] Τάμνῃ ἢ καῇ (sic), μήτε νεῦρον τάμῃ μήτε φλέβα θ. – τάμνων ἢ καίων μήτε νεῦρον τάμνῃ (τάμῃ HIL) ἢ καύσῃ μήτε φλέβα vulg. — [2] τυγχάνειν θ. – ἐπιτυγχάνῃ vulg. – τυγχάνῃ, alia manu ἐπιτ. H. — [3] δὲ om. θ. – τὰ θ, Mack – τὰ om. vulg. — [4] πέσῃ θ. – τοῦτ' EHθ. – ἀπώσαιεν· λαβεῖν τε ἃ vulg. – απωσαι (sic)· ἐμβάλλειν δὲ α (sic) θ. — [5] λαμβάνοντα δὲ (δὲ om. θ) vulg. — [6] ἃ καὶ ὅσα EGHIJKL, Ald., Lind. – καὶ.... πιέζειν om. dans θ d'après Mack toutefois ma collation n'indique pas cette lacune. — [7] λαβεῖν τε δεῖ vulg. – τε δει om. restit. al. manu H. — [8] ποιεῖν θ. – πιέειν (sic) Ald. – εὐθειέων EGJK. — [9] μηδὲ πιεζέοντα θ. – ὅτου EHθ. – ψαύῃ om. E. – οὖν om. θ. — [10] μακροῖς θ. – ἐπιδέσιας H, Lind., Mack. – ἐπιδεσίας vulg. — [11] τῆς τέχνης κρ εὐχειρίης· περὶ ἄλλα θ. – εὐχερίης H. – εὐχειρίας K. — [12] ὅσοι θ. — [13] πν ubique EGIK. — [14] εἴτ' Hθ. — [15] εἴτ' EHθ. — [16] τῷ πλευμονίῃ (sic) ἑλκει (sic) εισω (sic) θ. — [17] ἐμμ. G. — [18] ἀλγήματι θ. – ἴσχουσιν EI. — [19] εἴτ' EH. – εἴτ' θ. — [20] εἴτ' EHθ. — [21] ἐν τοῖσιν ὄπισθεν θ. – ἐν τ. ὄ. om. vulg. –

10. (*De l'adresse et de la maladresse de main.*) Il y a adresse de main, quand, incisant ou cautérisant, on n'incise ou ne brûle ni partie nerveuse ni veine; quand, opérant un empyème par cautérisation ou par incision, on arrive au pus; quand on réduit régulièrement les fractures; quand on remet régulièrement en place ce qui a été démis; quand, saisissant ce qui doit être saisi avec vigueur, on comprime; quand, saisissant ce qui doit être saisi doucement, on ne comprime pas; quand on applique un bandage sans rendre tortu ce qui est droit, et sans comprimer ce qu'il ne faut pas; et quand, palpant en quelque lieu que ce soit, on ne cause pas de la douleur inutilement. Ce sont là des exemples d'adresse; quant à saisir avec les doigts disposés gracieusement, droits ou de travers, allongés ou courts (De l'offic. du méd. § 4), quant à faire des bandages élégants et de toute espèce, cela n'est pas du ressort de l'adresse en médecine, mais en est indépendant.

11. (*De l'empyème du poumon.*) Chez ceux qui ont un empyème dans le poumon, dans le ventre supérieur ou dans l'inférieur, qui ont des tumeurs, soit dans le ventre supérieur, soit dans l'inférieur, soit dans le poumon, ou des ulcérations à l'intérieur, qui vomissent ou crachent du sang, qui ont quelque douleur, soit dans la poitrine, soit au dos dans les parties postérieures, chez ceux-là, disons-nous, toutes ces affections sont dues, pour les choses du dedans, à la bile et au phlegme, pour les choses du dehors, à l'air mêlé avec la chaleur innée, et aussi aux fatigues et aux blessures.

12. (*De l'empyème du poumon, suite de péripneumonie.*) L'empyème du poumon se produit de cette façon : si, un patient étant pris de péripneumonie, il n'y a pas dégorgement dans les jours critiques, mais s'il est resté dans le poumon de la matière d'expectoration et du phlegme, un empyème se

νότω θ. — [22] τῷ om. Lind. - ἐόντων θ. - δ' EH. — [23] τοῦ.... ἀπὸ om. θ. — [24] ὅσοι θ. — [25] ὑποληφθῇ H. - πῦον θ. - πτύελον J.

ἔμπυος γίνεται· [1] καὶ ἢν μὲν αὐτίκα θεραπευθῇ, διαφεύγει ὡς τὰ πουλλά· ἢν δὲ ἀμεληθῇ, διαφθείρεται, διαφθείρεται δὲ ὧδε· τοῦ φλέγματος ἐν τῷ πλεύμονι ἐνισταμένου τε καὶ σηπομένου, ἑλκοῦταί [2] τε ὁ πλεύμων καὶ διάπυος γίνεται, καὶ [3] οὔτε ἔτι ἔσω ἕλκει ἐς ἑωυτὸν ὅ τι [4] καὶ ἄξιον λόγου τῆς τροφῆς, [5] οὔτ' ἔτι ἀποκαθαίρεται ἀπ' αὐτοῦ ἄνω οὐδὲν, ἀλλὰ πνίγεταί τε καὶ δυσπνοεῖ ἀεὶ ἐπὶ μᾶλλον, καὶ ῥέγχει ἀναπνέων, καὶ ἀναπνέει αὐτόθεν ἄνωθεν ἐκ τῶν στηθέων, τέλος δὲ ἀποφράσσεται ὑπὸ τοῦ πτύσματος, καὶ ἀποθνήσκει.

13. Γίνεται [6] δ' ἔμπυος, [7] καὶ ἢν ἐκ τῆς κεφαλῆς φλέγμα οἱ καταῤῥυῇ ἐς τὸν πλεύμονα· καὶ τὸ μὲν πρῶτον ὡς τὰ πολλὰ λανθάνει καταῤῥέον, καὶ βῆχά τε παρέχει λεπτὴν, καὶ τὸ σίελον πικρότερον ὀλίγῳ τοῦ ἑωθότος, καὶ ἄλλοτε [8] θέρμη λεπτή· ὁκόταν δὲ ὁ χρόνος προΐῃ, τρηχύνεταί τε ὁ πλεύμων, καὶ ἑλκοῦται [9] ἔνδοθεν ὑπὸ τοῦ φλέγματος ἐνισταμένου καὶ ἐνσηπομένου, καὶ βάρος τε παρέχει τοῖσι στήθεσι καὶ ὀδύνην [10] ὀξέην πρόσω καὶ ὀπίσω, θέρμαι τε ὀξύτεραι ἐμπίπτουσιν ἐς τὸ σῶμα· καὶ [11] ὁ πλεύμων ὑπὸ τῆς θερμασίης ἄγει ἐς ἑωυτὸν ἐκ τοῦ σώματος φλέγμα, καὶ μάλιστα ἐκ τῆς κεφαλῆς· ἡ δὲ κεφαλὴ θερμαινομένη, ἐκ τοῦ σώματος· καὶ [12] τοῦτο σηπόμενον πτύει ὑπόπαχυ· ὅσῳ δ' ἂν ὁ χρόνος προΐῃ, [13] εἰλικρινὲς πτύει πῦος· καὶ οἱ πυρετοὶ ὀξύτεροι γίνονται, καὶ ἡ βὴξ πυκνὴ [14] καὶ ἰσχυρὴ, καὶ ἡ ἀσιτίη διακναίει· καὶ τέλος ἡ κοιλίη [15] ἡ κάτω ταράσσεται, ταράσσεται δὲ ὑπὸ τοῦ φλέγματος· τὸ δὲ φλέγμα [16] ἀπὸ τῆς κεφαλῆς καταβαίνει· οὗτος, ὅταν ἐς τοῦτο ἀφίκηται, ἀπόλλυται, καθάπερ εἴρηται ἐν τοῖσιν ἔμπροσθεν, διαπύου τοῦ πλεύμονος [17] καὶ σαπροῦ γενομένου, ἢ τῆς γαστρὸς ῥυείσης τῆς κάτω.

[1] Καὶ om. L. – ταπολλὰ E. – πολλὰ θ. – ἢν δαμεληθῇ (sic) διαφθείρεται· διαφθείρεται δὲ ὧδε· τοῦ φλέγματος ἐν τῷ πλεύμονι ἐνισταμένου θ. – ἢν δὲ ἀμεληθῇ ἐν τῷ πλεύμονι διαφθείρεται ἐνισταμένου vulg. — [2] τε om. J. — [3] οὔτε θ. – οὐκ vulg. – ἕλκει om. θ. — [4] καὶ om. J. — [5] οὐτέτι (sic) θ. – οὔτε τι vulg. – δυσπνοεῖ EKθ. – δυσπνοιεῖ vulg. – αἰεὶ Lind. – καὶ pro ἀεὶ θ. – ῥέγκει θ. – ἀναπνεῖ θ. — [6] δ' ἐμπ. θ. – δὲ καὶ (καὶ om. Mack) ἐμπ. vulg. — [7] καὶ om. EFGHIJK, Lind. – ἀπὸ θ. – πουλλὰ Lind. – λανθάνειν θ. – βῆχαν FG. – σίαλον vulg. – σίελον μικρότερον θ. – πυκνότερον L. – ἐωθότος θ. – εἰωθότος vulg. — [8] θερμην (sic) λεπτὴν θ. – ὅτ' ἂν θ. — [9] ἔσωθεν θ. – ἐνσηπομένου θ. – σηπομένου vulg. – τε θ. – τε om. vulg. – ἐν τοῖσι στήθεσι θ. — [10] ὀξέην θ. – ὀξείην vulg. – καὶ ἔμπροσθεν καὶ ὄπισθεν θ. – ὄπισθεν EH. – θερμαὶ θ. – εἰς J. — [11] ὁ EFGHIJKθ, Ald., Mack. – ὁ om. vulg. – ὑπὸ θ, Mack. – ἀπὸ vulg. –

forme; traité immédiatement, le patient en réchappe d'ordinaire ; mais s'il est négligé, il succombe, et il succombe ainsi : le phlegme se fixant et se pourrissant dans le poumon, cet organe s'ulcère, devient purulent, et il ne peut ni attirer à lui quoi que ce soit de la nourriture, ni se dégorger aucunement par le haut, dès lors le patient étouffe, la respiration est gênée de plus en plus, il râle dans l'inspiration, qui se fait par la partie supérieure de la poitrine, enfin la matière de l'expectoration obstrue les voies, et il meurt.

13. (*Empyème du poumon produit par du phlegme descendant de la tête.*) Il se fait encore un empyème quand du phlegme descend de la tête au poumon ; et d'abord en général cette descente n'est pas perçue ; elle provoque une toux légère, la salive est un peu plus amère que d'habitude, et de temps en temps survient un peu de chaleur fébrile ; mais à la longue le poumon devient raboteux, le phlegme qui s'y fixe et s'y corrompt, l'ulcère à l'intérieur, il se fait sentir un poids dans la poitrine et une douleur aiguë en avant et en arrière, et le corps est en proie à des chaleurs plus vives ; le poumon, par l'effet de la chaleur, attire à lui le phlegme du corps et surtout de la tête ; et la tête, échauffée, l'attire du corps. Ceci se pourrit, et le malade le crache un peu épais ; mais à mesure que le temps s'avance, cette expectoration devient du pus véritable ; l'état fébrile croît en acuité, la toux est fréquente et forte, l'inappétence fatigue ; enfin le ventre se dérange, et il se dérange par le phlegme, lequel descend de la tête ; le malade, quand il est à ce point, succombe, comme il a été dit précédemment, par l'effet du poumon devenu purulent et pourri, ou par le flux de ventre.

τοῦ σώματος θ, Mack. - παντὸς σώματος vulg. — [12] τὸ pro τοῦτο θ. - ὑποταχὺ (sic) θ. — [13] εἰλ. E. - πῦον πτύει θ. - πύος vulg. - ὀξύτεραι θ. — [14] τε καὶ θ, Mack. - Gal. Gloss. : διακνέει, ὅπερ καὶ ἀποκναίει. Τὸ δὲ αὐτὸ καὶ διακναίει λέγεται. - τέλος om. θ. — [15] ἢ om. JL. - τοῦ om. θ. — [16] ἐκ EHQ'θ, Lind., Mack. - ἀπίκηται, al. manu φί H. - ἀπόλλυται· ἀπόλλυται δὲ ἡ (sic) καθάπερ θ. — [17] καὶ σ. om. θ. - γιν. IK. - ἢ τ. γ. ῥυήσης (sic) κάτω θ.

14. Γίνεται δὲ καὶ ἀπὸ τῶνδε ἔμπυος ὁ πλεύμων·[1] ὁκόταν τι τῶν ἐν αὐτῷ φλεβίων ῥαγῇ, ῥήγνυται δὲ ὑπὸ πόνων, καὶ ὅταν ῥαγῇ, [2] αἱμοῤῥοεῖ τὸ φλέβιον·[3] κἢν μὲν παχύτερον ἔῃ, μᾶλλον, ἢν δὲ λεπτότερον, ἧσσον· καὶ τὸ μὲν, παραυτίκα τοῦ αἵματος πτύει· τὸ δὲ, ἢν μὴ στεγνωθῇ ἡ φλὲψ, χεῖται [4] ἐς τὸν πλεύμονα καὶ σήπεται ἐν αὐτῷ, καὶ, ὅταν σαπῇ, πῦον πτύει· προϊόντος δὲ τοῦ χρόνου, ἄλλοτε πῦον [5] εἰλικρινὲς, ἄλλοτε πῦον ὕφαιμον, ἄλλοτε αἷμα· καὶ ἢν μᾶλλον πληρωθῇ τὸ φλέβιον, ἀπεμεῖ τὸ πλήρωμα [6] ἀφ' ἑωυτοῦ ἅλες τοῦ αἵματος, τό τε πῦον πτύεται παχὺ ὑπὸ τοῦ προσγινομένου καὶ ἐνσηπομένου φλέγματος. Οὗτος ἢν καταληφθῇ ἀρχομένου τοῦ [7] νουσήματος πρὶν ἢ τὴν φλέβα αἱμοῤῥοεῖν [8] ἢ χαλᾷν ἰσχυρῶς, [9] πρίν τε λεπτυνθῆναι καὶ κλινοπετέα γενέσθαι, καὶ τὴν κεφαλὴν ἄρξασθαι φθίνειν, καὶ τὸ ἄλλο σῶμα τήκεσθαι, [10] ἐξάντης τῆς τοιῆσδε νούσου γίνεται· ἢν [11] δ' ἀμεληθῇ καὶ ταῦτα καταλάβῃ, ὥστε παθέειν ἢ πάντα ἢ τὰ πλεῖστα, ἀπόλλυται· ἀπόλλυται δὲ οὗτος ἢ ὑπὸ τῶν αὐτῶν ἃ εἴρηκα [12] ἔμπροσθεν, ἢ ὑπὸ ἐμέτου αἵματος πουλλοῦ [13] καὶ πολλάκις ἐμευμένου. Ἢν δὲ τὸ φλέβιον [14] παντάπασι μὲν μὴ διαῤῥαγῇ, σπάδων [15] δ' ἐν αὐτῷ ἐγγένηται, γίνεται δὲ μάλιστα [16] οἷον κιρσός· ὃ καὶ παραυτίκα μὲν, ὅταν γένηται, ὀδύνην τινὰ παρέχει λεπτὴν καὶ βῆχα ξηρήν· ἢν δὲ χρονίσῃ τε καὶ ἀμεληθῇ, διαδιδοῖ αἷμα, τὸ μὲν πρῶτον ὀλίγον καὶ [17] ὑπόμελαν ἔπειτα δὲ ἐπὶ πλέον τε καὶ εἰλικρινέστερον, εἶτα πῦον, καὶ πάσχει

[1] Ὅτ' ἂν θ. – ἐν αὐτῇ θ. – δ' ὑπὸ θ. – δὲ ἀπὸ vulg. – ὑπὸ Mack. — [2] αἱμοῤῥοεῖ EHJ, Mack. – αἱμοῤῥοιεῖ vulg. – αἱμορραγῇ θ. — [3] καὶ ἢν θ. – ᾖ θ. – στεγνωθῇ JL. — [4] Addit τε θ. – ἐς EH. – εἰς vulg. – πτύει θ. – ποιεῖ vulg. — [5] εἰλ E. – τὸ (δὲ pro τὸ EGHIJK, Ald., Frob.) αἷμα vulg. – τὸ om. θ, Lind. Post αἷμα addit [πτύει] Lind. — [6] ἀπὸ EH. – ἅλις H. — [7] νοσ. EHθ. – αἱμοῤῥοῖν (sic) θ. — [8] ἢ θ. – καὶ vulg. — [9] καὶ πρὶν η (sic) λεπτυνθῆναι τὲ καὶ κλινοπετῆ θ. – λεπτυθῆναι, al. manu λεπτυνθῆναι H. – ἄρχεσθαι θ. — [10] ὑγιὴς pro ἐ. τ. τ. νούσου θ. – τουτέστιν ἔξω τῆς τοιαύτης νόσου in marg. J. — [11] δὲ θ. – παθεῖν θ. – οὗτος om. FGIKL. – ἢ om. θ. – ἀπὸ EHP'Q', Lind. Mack. — [12] ἐν τῇ πρόσθεν θ. – ἀπὸ H, Lind. – πολλοῦ EHθ. — [13] καὶ θ, Mack – καὶ om. vulg. – πουλλάκις IJ. – ἐμευμενου (sic) θ. – ἐμεομένου E, Lind. Mack. – ἐμεουμένου vulg. — [14] μὲν παντ. J. – Erot. Gl.: σπάδων, σπασμὸς σώματος. – Gal. Gl.: σπαδὼν (sic), σπάσμα· θηλυκὸν τοὔνομα. — [15] δὲ J. ἐνγένηται θ. – δὲ om. Lind. — [16] οἷα FGIJK. – καὶ om. θ. – τε pro τινὰ θ. διαδίδοι θ. – αἷμα, τὰ μὲν θ, Mack. – αἵματος μὲν vulg. — [17] ὑπομέλαν vulg. ἐπὶ (ἐς L; εἰς FGJK) πλεῖον vulg. – ἐπιπλέον EH. – ἐπὶ πλέον Mack. – τε om GIJK. – εἰλικρινέστερον EHθ, Mack. – εἰλικρινέστατον vulg. – εἶτα πῦον om

14. (*Empyème du poumon produit par ce que les médecins hippocratiques appelaient une rupture ; voy. t. V, p. 579. On a pensé que ces ruptures de veine dans la poitrine notées ici et ailleurs étaient relatives aux anévrysmes internes. Mais cela ne paraît pas certain. Le langage de l'auteur hippocratique est trop vague, et l'idée qu'il se fait de ces ruptures trop peu précise pour qu'on puisse y reconnaître une description d'anévrysme.*) Un empyème se forme aussi dans le poumon de cette façon : lorsqu'une des veinules qui sont dans cet organe se rompt, rupture causée par des fatigues, la veinule laisse écouler du sang, d'autant plus qu'elle est plus grosse, d'autant moins qu'elle est plus petite ; du sang, une partie est crachée sur le moment, l'autre, si la veine ne s'est pas resserrée, se répand dans le poumon, et s'y pourrit ; et quand ce sang est pourri, c'est du pus que crache le patient ; dans la suite il crache tantôt du pus tout pur, tantôt du pus sanguinolent, tantôt du sang ; si la veinule s'est remplie davantage, cette plénitude dégorge du sang en abondance, et un pus épais est craché par l'effet du phlegme fixé et pourri. Le patient, si on le prend au début du mal avant que la veine ne donne beaucoup de sang ou ne se relâche grandement, avant qu'il ne maigrisse et ne s'alite, avant que la tête ne commence à se consumer et le reste du corps à se fondre, le patient, disons-nous, réchappe de la maladie ; mais s'il est négligé, s'il lui advient d'être atteint de tous ces accidents ou de la plupart, il succombe ; et il succombe soit aux mêmes lésions que j'ai dites plus haut, soit au vomissement de sang abondant et souvent répété. Si la veinule ne s'est pas rompue complétement, mais qu'il s'y forme une convulsion, cette convulsion produit une espèce de varice ; il en résulte, à l'instant de la production de la lésion, une douleur légère et une toux sèche ; mais si le mal dure et est négligé, il vient du sang, d'abord peu et presque noir, puis davantage et plus pur, enfin du pus, et le patient

θ, Mack. – τε ὅσα vulg. – J'ai supprimé ce τε de vulg. ; τε, comme on voit par nos mss., se glisse très-souvent à tort. – τῇ πρόσθεν pro τ. ἔμπρ. θ.

ὅσα περ ἐν τοῖσιν ἔμπροσθεν εἴρηται· [1]ξυμφέρει δὲ τοῖσι τοιούτοισιν, ἢν καταρχὰς λάβῃς ὥστε θεραπεύειν, φλέβες ἐξιέμεναι ἐκ τῶν χειρῶν, καὶ δίαιτα, ὑφ' ἧς ἔσται [2]ὡς ξηρότατός τε καὶ ἀναιμότατος. Τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ τὰ ἐν τῷ πλευρῷ φλέβια πάσχει, ὅσα ἔσω ἀκρόπλοά ἐστιν· ὁκόταν οὖν πονέσῃ, κιρσοειδέα τε γίνεται καὶ μετέωρα [3]ἔνδον· καὶ ἢν μὲν ἀμεληθῇ, τάδε πάσχει· ἐκρήγνυται, [4]καὶ πτύουσί τε ἀπὸ σφέων αἷμα, καὶ ἐνίοτε καὶ ἐμέουσι, καὶ ἔμπυοι γίνονται, καὶ ὡς τὰ πουλλὰ διεφθάρησαν· ἢν δὲ θεραπευθῶσιν ἀρχομένου τοῦ [5]νουσήματος, αὖθις κατὰ χώρην ἱζάνουσι πρὸς τὸ πλευρὸν τὰ φλέβια, καὶ γίνεται ταπεινά. Καὶ ὁ μὲν πλεύμων ἀπὸ τούτων ἔμπυος γίνεται, καὶ [6]ἀπ' αὐτοῦ πάσχουσί τε [7]τὰ τοιαῦτα καὶ τελευτῶσιν οὕτως.

15. Τὴν δὲ ἄνω κοιλίην ἔμπυοι γίνονται πολλαχῶς· καὶ γὰρ ὅταν φλέγμα ῥυῇ ἐκ τῆς κεφαλῆς ἅλες ἐς τὴν ἄνω κοιλίην, [8]σήπεταί τε καὶ γίνεται πῦον· [9]σήπεται δ' ἐπὶ τῶν φρενῶν κεχυμένον· σήπεται [10]δὲ ἐν ἡμέρῃσι μάλιστα δυοῖν καὶ εἴκοσι· τοῦτο οὖν διασείεται, καὶ [11]ἐγκλυδάζεται τὸ πῦον πρὸς τὰ πλευρὰ προσπῖπτον· οὗτος ἢν καυθῇ ἢ τμηθῇ, [12]πρὶν χρονίσαι τὸ πῦον, ὑγιὴς γίνεται ὡς τὰ πολλά. [13]Γίνονται δὲ τὴν ἄνω κοιλίην ἔμπυοι καὶ ἐκ πλευρίτιδος, [14]ὁκόταν ἰσχυρὴ γένηται, καὶ ἐν τῇσι κυρίῃσιν ἡμέρῃσι μήτε σαπῇ μήτε πτυσθῇ, ἀλλ' ἑλκωθῇ τὸ πλευρὸν ὑπὸ τοῦ [15]προσπεπτωκότος φλέγματός τε καὶ χολῆς·

[1] Ξ. θ, Lind. – σ. vulg. – λάβῃς θεραπεύειν ὥστε αἵ τε (τε om. E) φλέβες vulg. – λάβῃς ὥστε θεραπεύειν φλέβες θ. – Foes, dans ses notes, propose de lire θεραπεύειν ὥστε τὰς φλέβας ἐξιέναι τῶν χειρῶν. – ἐξιεμέναι θ. – Post χειρῶν addunt τέμνεσθαι ELQ'. — [2] ὡς om. vulg., faute d'impression. – ἀνεμότατος θ. – φλεβία E. – ἐστιν EHQ'θ. – εἰσιν vulg. – ὅτ' ἂν θ. – πονέσῃ, al. manu ή E. – πονήσῃ vulg. – κρισσοείδεα (sic) θ. – τε om. EIJK, Lind. – μετεωρότερα P'Q'. — [3] ἔνδον θ. – εἴσω vulg. — [4] τε καὶ vulg. – τε om. θ. – ἔνι ὅτε θ. – πολλὰ Hθ. – ταπολλὰ E. – διουν (sic) ἐφθάρησαν θ. — [5] νοσ. Eθ. – πάλιν καταχωρην (sic) προσπίπτει τε πρὸς τὸ θ. – πρὸς EHQ', Lind., Mack. – εἰς vulg. — [6] τὰ ἀπ' vulg. – J'ai supprimé τὰ, mais sans autorité de mss. — [7] τὰ om. θ. – οὕτως GIJ. – οὕτω vulg. – δ' θ. – ἔκ τε (τε om. Lind.) κεφ. vulg. – ἐκ τῆς κεφ. θ, Mack. – ἅλες ἀθρόον vulg. – ἀθρόον om. E (H, restit. al. manu) IP'θ. – ἐν τῇ ἄνω κοιλίῃ EP'. — [8] σήπτεται K. – πῦον θ. – πύος vulg. — [9] σήπεται δ' ἐπὶ τῶν φλεβων (sic) κεχυμένον θ. – σήπεται.... κεχ. om. vulg. – Ma collation a φλεβων; celle de Mack, φρενῶν, ce qui est la véritable leçon, soit qu'il y ait ainsi dans le ms., soit que Mack ait corrigé son texte, ce qui lui arrive parfois. — [10] δ' θ. – δυοῖν καὶ εἴκοσι θ. – μιῇ καὶ εἰκοστῇ vulg. – τοῦτ' EHθ,

éprouve tout ce qui a été énoncé plus haut. Il convient à ces patients, si vous en prenez le traitement au début, de leur ouvrir les veines des bras et de les mettre à un régime qui les rende aussi secs et aussi exsangues que possible. De la même manière sont lésées les veinules du côté qui sont superficielles à l'intérieur; quand elles souffrent, elles deviennent variqueuses et saillantes au dedans; et si on néglige le cas, il survient ces accidents-ci : rupture, crachement et parfois vomissement de sang, empyème et d'ordinaire perte de la vie; mais si le patient est traité dès le début du mal, les veinules rentrent à leur place dans le côté, et la saillie s'en efface. Telles sont les origines de l'empyème du poumon, les accidents qui en résultent, et la fin des malades.

15. (*Empyème dans la cavité de la poitrine produit* 1° *par du phlegme descendant de la tête sur le diaphragme;* 2° *par une pleurésie;* 3° *par du phlegme descendant de la tête et se fixant au côté;* 4° *par une rupture.*) Quant au ventre supérieur (*poitrine*), l'empyème s'y forme de plusieurs façons : le phlegme, quand il y descend de la tête en abondance, pourrit et devient du pus; il pourrit répandu sur le diaphragme; et cette pourriture s'effectue d'ordinaire en vingt-deux jours; on pratique la succussion, et le flot du pus vient heurter les parois de la poitrine; ce patient, cautérisé ou incisé, avant que le pus n'ait vieilli, revient généralement à la santé. Un empyème se forme encore dans le ventre supérieur (*poitrine*) à la suite de la pleurésie, quand elle est forte, et qu'il n'y a ni maturation ni expectoration aux jours décisifs, mais ulcération du côté par l'effet du phlegme et de la bile qui s'y fixent;

Mack. — [11] Supra lin. σκορπίζεται K. – πῦον θ, Mack. – πύος vulg. – πρὸς θ, Mack. – ἐς HIK. – εἰς vulg. – προσπῖπτον Kühn. – προσπίπτον vulg. — [12] πρὶν ῃ (sic) θ. – πῦον θ, Mack. – πύος vulg. – πουλλὰ Lind. — [13] γίνεται FGIK. – κατὰ (μετὰ Lind.) τὴν vulg. – κατὰ om. (H, restit. al. manu) θ, Mack. – ἔμπυον K. — [14] ὡς ὁκόταν EFGHIJKP'Q'. – ὅτ' ἂν θ. – χρισίμησιν FGKL. – χρισίμοισι (H, supra lin.) J. — [15] προσπεπτωκότος θ. – προσπεπηγότος vulg. – πεπηγότος E. – αἵματος pro φλ. J. – τε EIJKLθ, Mack. – τε om. vulg.

καὶ ὁκόταν ἕλκος γένηται, [1]ἀναδιδοῖ ἀπὸ ἑωυτοῦ πῦος, καὶ ἐκ τῶν πλησίον χωρίων ὑπὸ θερμασίης ἄγει ἐφ' [2]ἑωυτὸ φλέγμα· καὶ τοῦτο ὁκόταν σαπῇ, πτύεται [3]πῦος· ἐνίοτε δὲ καὶ ἐκ τῶν φλεβίων διαδιδοῖ ἐς τὸ ἕλκος αἷμα, καὶ γίνεται σηπόμενον πῦος· οὗτος ἢν μὲν παραχρῆμα ὑποληφθῇ, ὑγιὴς γίνεται ὡς τὰ πολλά· ἢν [4]δὲ ἀμεληθῇ, διαφθείρεται. Γίνονται δὲ ἔμπυοι, καὶ ἢν φλέγμα [5]ἐκ τῆς κεφαλῆς ῥυὲν πρὸς τὸ πλευρὸν προσπαγῇ καὶ [6]σαπῇ· τότε γὰρ τὸ πλευρὸν ὡς τὰ πολλὰ καίεται, καὶ πάσχει ὅσα περ ἐκ πλευρίτιδος, ὅταν ἔμπυος γένηται. Γίνονται δὲ καὶ [7]ὁκόταν ὑπὸ ταλαιπωρίης, ἢ ἐκ γυμνασίης, ἢ ἄλλως πως ῥαγῇ ἢ ἔμπροσθεν ἢ ὄπισθεν, ῥαγῇ δὲ ὥστε [8]μὴ παραυτίκα πτύσαι αἷμα, ἀλλ' ἐν τῇ σαρκὶ [9]σπάδων γένηται, καὶ ἡ σὰρξ σπασθεῖσα εἰρύσῃ ἰκμάδα ὀλίγην, καὶ γένηται ὑποπέλιδνος, καὶ παραυτίκα μὲν μὴ αἰσθάνηται ὁ παθὼν ὑπὸ ῥώμης καὶ εὐεξίης, [10]ἢν δὲ καὶ αἴσθηται, μηδὲν πρῆγμα ἡγήσηται· οὕτως ὅταν καταλάβῃ [11]ὥστε αὐτὸν ὑπὸ πυρετῶν λεπτυνθῆναι ἢ [12]ποσίων ἢ λαγνείης ἢ ἄλλου του, [13]ἡ σὰρξ ἡ τετρωμένη ὑποξηραίνεταί τε καὶ ὑποθερμαίνεται, καὶ ἕλκει ἰκμάδα ἐς ἑωυτὴν ἀπὸ τῶν πλησίον καὶ φλεβῶν καὶ σαρκῶν· ὅταν [14]δὲ εἰρύσῃ, οἰδίσκεταί τε καὶ φλεγμαίνει, καὶ ὀδύνην παρέχει λεπτὴν καὶ βῆχα ἀραιήν τε καὶ ξηρὴν τὸ πρῶτον, ἔπειτα [15]ἐπὶ μᾶλλον ἕλκει τε ἐς ἑωυτὴν, καὶ ὀδύνην παρέχει ἰσχυροτέρην καὶ βῆχα πυκνοτέρην· [16]καὶ πτύει τὸ μὲν πρῶτον ὑπόπυον, ἐνίοτε δὲ ὑποπέλιδνον καὶ ὕφαιμον· ὅσῳ [17]δὲ ἂν ὁ χρόνος προΐῃ, ἕλκει τε μᾶλλον ἐς ἑωυτὴν καὶ σήπει· καὶ αὐτῆς τῆς σαρκὸς, ὅσον πελιδνὸν ἐγένετο τὴν ἀρχὴν, [18]τοῦτο πᾶν ἕλκος γίνεται, καὶ ὀδύνην παρέχει [19]ὀξείην καὶ πυρετὸν

[1] Ἀναδίδοται ἄποτε (sic) αὐτὸ εωυτοῦ (sic) ποτον (sic) θ. – πύος vulg. – πῦον Mack. — [2] ἑωυτῷ J. — [3] πῦον (bis) θ, Mack. – πύος (bis) vulg. – ἔνι ὅτε θ. – διαδίδοι θ. – ὑπολειφθῇ J. – πουλλὰ Lind. — [4] δὲ διαμεληθῇ EH. — [5] ἐκ τε κ. vulg. – ἐκ τῆς κ. (L vel Q', non indicavit Foes in not. uter τῆς habuerit) θ, Lind., Mack. — [6] σαπῇ πρὸς τὸ πλευρὸν ὡς θ. – τοτε vel τό τε, sine γὰρ τὸ (E, restit. al. manu τὸ) FGHIJK, Ald. – πουλλὰ Lind. – περ om. E. – γίνηται θ. — [7] ὅτ' ἂν θ. – ταλαιπ. ἐν γυμνασίοις ἢ ἐν αλλω (sic) τω ῥαγῇ θ. – πῶς I. — [8] καὶ, al. manu μὴ E. – πτῦσαι θ. — [9] Supra lin. ταλαίπωρος K. – ἰρύσῃ ἰκμαδασαιγην (sic) θ. – ὑποπέλιος θ. – παθὼν, sine ὁ θ. — [10] ἢν δὲ καὶ αἴσθηται (sic) θ. – εἰ δὲ καὶ αἰσθάνεται vulg. – ἢν δὲ καὶ αἰσθάνηται EH. – πρῆγμα HJKL, Mack. – πρᾶγμα vulg. – ἡγήσηται θ. – ἡγήσεται vulg. – οὕτως H. – οὗτος vulg. — [11] ὡς ταυτον (sic) θ. – Post πυρ. addit ληφθέντα vulg. – J'ai supprimé, quoique sans mss., ληφθέντα, qui empêche la construction et qui me paraît avoir été produit par la répétition des premières lettres

l'ulcération, étant formée, donne du pus et, par la chaleur, attire à elle, hors des parties voisines, le phlegme, qui, venu à maturation, est expectoré en pus; quelquefois même les veinules fournissent à la plaie du sang, qui devient pus par la pourriture. Le patient, s'il est traité tout d'abord, guérit généralement; mais, négligé, il succombe. Un empyème se forme aussi quand du phlegme s'écoulant de la tête se fixe au côté et pourrit; car alors généralement le côté s'échauffe, et souffre ce que fait souffrir la pleurésie passant à l'empyème. Autre cause d'empyème : dans des fatigues ou des exercices ou de toute autre façon il se fait une rupture ou en avant ou en arrière (t. V, p. 579, § 3; Coa. 418), de telle sorte que du sang n'est pas craché immédiatement, mais qu'une convulsion se forme dans la chair. La chair, prise de convulsion, attire un peu d'humeur, et devient sublivide; sur le moment le patient ne s'aperçoit de rien à cause de sa force et de son embonpoint, ou, s'il s'en aperçoit, il n'en tient compte; mais, quand il lui advient d'être amaigri soit par des fièvres, soit par des excès de boisson ou de coït, soit de toute autre façon, la chair blessée se dessèche et s'échauffe un peu, et tire à elle de l'humeur hors des veines et chairs voisines; attirant ainsi, elle se tuméfie, s'enflamme et provoque une douleur légère et une toux rare et sèche d'abord; puis, à fur et à mesure qu'elle attire davantage à elle, la douleur devient plus forte et la toux plus fréquente; l'expectoration est d'abord subpurulente, quelquefois sublivide et sanguinolente; mais, plus le temps avance, plus l'attraction augmente, ainsi que la corruption. Toute la portion de la chair même qui, au début, était devenue livide, devient une plaie, et provoque une douleur aiguë, de la fièvre

de λεπτυνθῆναι. — [12] ποσιῶν θ. – πόσιος E. – πόσιων H, Lind. – λαγνίης θ. — [13] ἡ HJ, Ald., Lind., Mack. – ἢ vulg. – ξηραίνεται EJP′. – εἰς EH. — [14] δείρύσῃ (sic) θ. — [15] ἐπεὶ pro ἐπὶ IK. – ἔτι pro ἐπὶ P′, Mack. – τε καὶ ἐς E. – ἕλκεται pro ἕλκει τε θ. – ἰσχυρῆν (sic) θ. — [16] καὶ repetitur E. – ἔνι ὅτε δὲ καὶ ὑποπέλιον καὶ ὕφαιμον θ. — [17] δ' EHθ. – ἂν om. FGIK. – ἕλκεται pro ἕλκει τε θ. – εἰς E. — [18] τοῦτο πύος (πῦος Kühn; πᾶν pro πύος, E cum πύος al. manu, GHIJK) γίνεται vulg. – τοῦτο πᾶν ἕλκος γίνεται θ, Mack. — [19] ἰσχυρῆν (sic) θ.

καὶ βῆχα πολλήν τε καὶ πυκνὴν, καὶ τὸ πτύσμα [1] εἰλικρινὲς πτύει πῦος· ἢν δὲ χρονίσῃ τὸ πῦος ἐν τῇ κοιλίῃ, διαθερμαίνεται [2] αὐτοῦ τὸ σῶμα πᾶν, μάλιστα δὲ τὰ ἐγγυτάτω, θερμαινομένου δὲ τοῦ σώματος, [3] ἐκτήκεται τὸ ὑγρὸν, καὶ τὸ μὲν ἀπὸ τῶν [4] ἄνω ἐς τὴν ἄνω κοιλίην μάλιστα συῤῥεῖ, καὶ γίνεται πῦος, πρὸς τῷ ἐνεόντι, τὸ δὲ [5] καὶ ἐς τὴν κάτω κοιλίην ῥεῖ, καὶ ἐνίοτε ταράσσεται ἡ κοιλίη ὑπ' αὐτοῦ, καὶ [6] διέφθειρε τὸν ἄνθρωπον. Τὰ γὰρ ἐσιόντα τῶν σιτίων διαχωρέει [7] ἄπεπτα, καὶ τροφὴ ἀπ' αὐτέων οὐ γίνεται τῷ σώματι· καὶ ἡ τοῦ πτύσματος ἄνω κάθαρσις οὐχ ὁμαλὴ γίνεται, ἅτε διατεθερμασμένης τῆς κοιλίης καὶ ἀγούσης πάντα κάτω ἐφ' ἑωυτήν· καὶ ὑπὸ μὲν τοῦ πτύσματος πνίγεταί τε καὶ [8] ῥέγχει οὐ καθαιρόμενος, ὑπὸ δὲ τῆς γαστρὸς ῥεούσης ἐξασθενέει, καὶ ὡς ταπουλλὰ διαφθείρεται. Μάλιστα [9] δὲ ἐν τῇσι τοιαύτῃσι τῶν νούσων τὸ ῥεῦμα τοῦτο ἡ κεφαλὴ παρέχει, ἅτε κοίλη ἐοῦσα [10] καὶ ἄνω ὑπερκειμένη· ὁκόταν γὰρ διαθερμανθῇ [11] ὑπὸ τῆς κοιλίης, ἕλκει ἐς ἑωυτὴν ἐκ τοῦ σώματος τὸ λεπτότατον τοῦ φλέγματος· ὅταν δὲ ἁλισθῇ ἐν αὐτῇ, ἀποδιδοῖ πάλιν ἅλες [12] καὶ παχὺ, καὶ, ὥσπερ εἴρηται, τὸ μὲν αὐτοῦ ἐς τὴν ἄνω κοιλίην καταῤῥεῖ, τὸ [13] δὲ ἐς τὴν κάτω· ὁκόταν οὖν ἄρξηται ἥ τε κεφαλὴ ῥεῖν, καὶ τὸ ἄλλο σῶμα τήκεσθαι, οὐκ ἔτι [14] ὁμαλῶς, οὐδὲ καυθέντες, περιγίνονται· κρατέει γὰρ πρὸς μὲν τὸ πῦον τὰ ἐπιῤῥέοντα κακὰ [15] ἢ τὰ ἀπορῤῥέοντα, αἱ δὲ σάρκες τηκόμεναι μᾶλλον ὑπὸ τῶν κακῶν, [16] ἢ τρεφόμεναι ὑπὸ τῶν [17] ἐσιόντων.

16. Οὗτοι ὁκόσοι τοιουτότροπα νουσήματα ἴσχουσι καὶ ἀπὸ τούτων, ἔνιοι μὲν δι' ὀλίγου ἀπόλλυνται, ἔνιοι δὲ πουλὺν χρόνον ἕλκουσιν· διαφέρει [18] γὰρ σῶμα σώματος, καὶ [19] ἡλικίη ἡλικίης, καὶ πάθημα

[1] Εἰλ. E. – ἔπειτα pro πτύει Lind. – πῦος (bis) Kühn. – πύος (bis) vulg. – πῦον (bis) θ. – δὲ om. (H, restit. al. manu) θ. — [2] ὑπ' αὐτοῦ vulg. – ὑπ' om. θ. — [3] μάλιστα (μάλ. om. θ) ἐκτ. vulg. — [4] ἀνθρώπων pro ἄνω L. – εἰς K. – συρρεῖν G. – συνρεῖ θ. – πῦον θ. – πῦος Kühn. – πύος vulg. — [5] καὶ om. GIJK L. – εἰς I. — [6] διουν ἔφθειρε (sic) θ. — [7] ἄσηπτα θ. – αὐτέων θ. – αὐτῶν vulg. – ὁμαλῶς θ. – διαθερμασμένης J. – διά τε θερμασμένης θ. — [8] ῥέγκει θ. – ῥαιούσης θ. – ταπολλὰ EJ. – τὰ πολλὰ Hθ. — [9] δ' θ. – τῶν ν. om. FGIJK. — [10] τε καὶ E (H, cum ἐοῦσα post ἄνω). – ἐπικειμένη EQ'θ. – δὲ pro γὰρ E. – διαθερμαθῇ G. — [11] τῆς (sine ὑπὸ) ἄνω κοιλίη(ς erasum) θ. – εἰς K. – ἀποδίδοι θ. — [12] τε καὶ EHθ, Mack. – In marg. τὸ ἁλμυρὸν δοκεῖ λέγειν φλέγμα ἅλες E. – παχὺ, καὶ ὥσπερ εἰρ. τὸ μὲν αὐτοῦ θ. – παχὺ, ὥσπερ εἴρηται (εἴρεται Lind.), καὶ αὐτοῦ τὸ μὲν vulg. — [13] δ' θ. – ὅτ' ἂν sine οὖν θ. – τε θ. – τε om. vulg. —

et une toux forte et fréquente; et l'expectoration est du pus véritable. Si le pus vieillit dans la cavité, tout le corps s'échauffe, surtout les parties voisines; le corps étant échauffé, l'humide se dissipe; une portion, provenant des parties supérieures, afflue dans le ventre supérieur (*poitrine*), et devient du pus à côté du pus préexistant; l'autre portion descend dans le ventre inférieur, qui parfois se dérange par ce flux et emporte le patient. En effet, les aliments introduits passent sans digestion, et le corps n'en reçoit aucune alimentation; le dégorgement par l'expectoration n'est pas facile, attendu que le ventre est échauffé et entraîne tout à lui vers le bas. Le patient est étouffé par la matière de l'expectoration, râle faute de dégorgement, s'affaiblit par le flux de ventre, et meurt d'ordinaire. C'est surtout dans ces maladies qu'un tel flux est fourni par la tête, qui, en effet, est creuse et placée au sommet; quand elle est échauffée par le ventre, elle attire à elle hors du corps la partie la plus ténue du phlegme; quand ce phlegme s'y est accumulé à son tour, elle le rend abondant et épais; et, comme il a été dit, une part descend dans le ventre supérieur, une autre part dans le ventre inférieur. Lors donc que la tête commence à fluer et le reste du corps à se fondre, les patients, même opérés par cautérisation, ne réchappent plus avec facilité, car plus d'humeur mauvaise arrive au pus qu'il n'en est évacué, et les chairs se fondent plus sous l'action du mal qu'elles ne se nourrissent par les aliments.

16. (*Difficulté de dire à l'avance la durée de ces maladies.*) De ceux qui ont des maladies semblables et produites par ces causes, les uns succombent en bref délai, les autres traînent longtemps, car le corps diffère du corps, l'âge de l'âge, la lésion de la lésion (Des vents, § 6); et les uns sont plus durs

[14] ὁμοίως θ. – καυθέντος E. – καθέντε (sic) K. – τὸ πῦον θ. – τοῦ πύους vulg. — [15] καὶ pro ἢ GL. – ἢ καὶ EQ'. – ἢ τὰ om. Ald. – Mack dit que ἢ manque dans θ; ma collation, au contraire, a cet ἤ. — [16] ἢ om. θ. — [17] ἐσ. θ. – εἰσ. vulg. – ὅσοι θ. – νοσ. EHIKθ. – ὀλίγου EHIJKLθ. – ὀλίγον vulg. – πολὺν EH. – πουλλὺν Lind. — [18] γὰρ καὶ Hθ. — [19] καὶ ἢ Ald. – καὶ ἠλ. ἠλ. om. θ.

[1] παθήματος · [2] καὶ οἱ μὲν ταλαιπωρότεροί εἰσιν ἐν τῇσι νούσοισιν, οἱ δὲ παντάπασι ταλαιπωρέειν ἀδύνατοι. Οὔκουν ἐστὶ τὸ ἀκριϐὲς εἰδέναι καὶ τυχεῖν εἵπαντα τοῦ χρόνου, ἐν ᾧ ἀπόλλυνται, [3] οὔτε εἰ [4] πολλὸν, οὔτ' εἰ ὀλίγον · [5] οὐδὲ γὰρ οὗτος ὁ χρόνος ἀκριϐὴς, ὃν ἔνιοι λέγουσιν, ὡς τὰ πολλὰ, οὐδὲ αὐτὸ τοῦτο ἐκποιέει· διαφέρει γὰρ καὶ ἔτος ἔτεος, καὶ ὥρη ὥρης, [6] ἐν ᾗ ἂν νοσέωσιν · ἀλλ' ἥν τις θέλῃ περὶ αὐτέων ὀρθῶς γινώσκειν καὶ λέγειν, [7] γνώσεται ὧδε πᾶσαν ὥρην καὶ ἀπολλυμένους καὶ περιγινομένους καὶ πάσχοντας ἅπερ ἂν πάσχωσιν.

17. Τὴν δὲ κάτω κοιλίην ἔμπυοι γίνονται, μάλιστα μὲν, ὅταν φλέγμα ἢ χολὴ [8] συστῇ ἅλες μεσηγὺ τῆς σαρκὸς καὶ τοῦ δέρματος · γίνονται δὲ καὶ ἀπὸ σπασμῶν, [9] καὶ ὅταν φλέϐιον σπασθὲν ῥαγῇ · τὸ αἷμα ἐκχυθὲν σήπεται [10] καὶ ἐκπύει· ἢν δὲ ἡ σὰρξ σπασθῇ ἢ φλασθῇ, ἕλκει ἐκ τῶν παρ' ἑωυτῇ φλεϐίων αἷμα, καὶ τοῦτο σήπεται [11] καὶ ἐκπύει. Τούτοισιν ἢν μὲν ἔξω ἀποσημήνῃ, καὶ τὸ πῦον ἐξέλθῃ, ὑγιέες γίνονται· ἢν δὲ ἐκραγῇ αὐτόματον ἔσω, ἀπόλλυνται. Κεχυμένον δὲ [12] πῦος ἐν τῇ κάτω κοιλίῃ, ὥσπερ ἐν τῇ ἄνω εἴρηται [13] ἐγγίνεσθαι, οὐκ ἂν δύναιτο ἐγγενέσθαι, ἀλλ' ὥσπερ μοι εἴρηται, ἐν χιτῶσί τε καὶ ἐν φύμασιν ἐγγίνεται· καὶ ἢν μὲν [14] ἔνδον ἀποσημήνῃ, δυσπετὲς γνῶναι· οὐδὲ γὰρ διασείσαντά ἐστιν [15] εἰδέναι · γινώσκεται δὲ μάλιστα τῇ ὀδύνῃ ἔνθα ἂν ἔῃ, καὶ ἢν καταπλάσῃς [16] τῇ κεραμίτιδι ἢ ἄλλῳ τῳ τοιούτῳ, ἀποξηραίνει δι' ὀλίγου.

[1] Post παθ. addit καὶ ὥρη ὥρης ἐν ᾗ ἂν νοσέωσι vulg. – Voy., note 6, pourquoi j'ai supprimé ici ces mots. — [2] καὶ οἶμαι καὶ οἱ ταλ. θ. – νούσησι vulg. – νούσοισι E, Lind., Mack, Kühn. – οὐκ οὖν ἐστι τὸ ἀκριϐὲς εἰδέναι καὶ τυχεῖν εἰ πάντα τοῦ χρόνου ἐν ὁπόσῳ ἀπόλλυται θ. – οὔκουν ἐστὶ τὸ ἀκριϐὲς τοῦ χρόνου ἐν ᾧ ἀπόλλυνται vulg. – Je prends la leçon de θ, sauf εἵπαντα au lieu de εἰ πάντα. Le participe εἵπας est particulièrement ionien; voy. Buttmann, Gr. Sprachl. § 114, v. εἰπεῖν. — [3] οὔτ' εἰ EHθ. — [4] πουλλὸν Lind. — [5] οὐδὲ θ. – οὔτε vulg. – ὃν θ. – ὧν EH. – ὡς τὰ π. om. FGIJKL. – πουλλὰ Lind. – ἐκποιέει θ. – ἐκπύει vulg. — [6] ἐν ᾗ ἂν νοσέωσιν om. vulg. – Plus haut, note 1, j'ai supprimé καὶ ὥρη ὥρης ἐν ᾗ ἂν νοσέωσιν; ici j'ajoute ἐν ᾗ ἂν νοσέωσιν, le tout sans ms. Cependant je crois la correction sûre : καὶ ὥρη ὥρης, si on le laisse dans les deux passages, fait une répétition inintelligible; καὶ ὥρη ὥρης doit venir naturellement après ἔτος ἔτεος; enfin ἐν ᾗ ἂν νοσέωσιν n'est traduisible que dans le deuxième passage, et ne l'est pas dans le premier. – ἐθέλῃ θ. – θέλει K. – αὐτέων EQ', Mack. – αὐτῶν vulg. — [7] καὶ γν. EHIKQ'. – ὃ δὲ (sic) L. – οὕτω θ. – περὶ γινομένους θ. – περιγεν. vulg. – ἃ EHθ. — [8] συνστῆι αλης (sic) ἐν τῷ μέσῳ τῆς τε θ. – μέση γὰρ pro μεσηγὺ G. — [9] ὅταν καὶ Ald. — [10] τε καὶ θ. – ἐκπύει, al. manu

au mal dans les maladies, les autres sont absolument incapables d'y résister. Donc on ne peut rien préciser, ni réussir à indiquer l'intervalle de temps où ils succombent, soit long, soit court; car généralement ce temps n'a pas la précision que quelques-uns y attribuent, et cela même ne comprend pas toutes les conditions, attendu qu'il y a aussi des différences entre l'année et l'année, entre la saison et la saison où ces gens sont malades. Mais, si l'on veut avoir sur ces malades de justes notions et en bien parler, il faut savoir qu'en toute saison ils meurent, guérissent et souffrent ce qu'ils souffrent (Aph. III, 19).

17. (*Des collections purulentes dans le ventre.*) Du pus se forme dans le ventre inférieur, surtout quand du phlegme ou de la bile se rassemble en abondance entre la chair et la peau; il s'en forme encore à la suite de spasmes et quand une veinule se déchire par convulsion; le sang épanché pourrit et devient pus; si c'est la chair qui éprouve une convulsion ou une contusion, elle attire, des veinules avoisinantes, le sang, qui pourrit et suppure. Ces patients, si le mal pointe au dehors et que le pus sorte, guérissent; mais, si le pus s'épanche spontanément en dedans, ils succombent. Le pus répandu dans le ventre inférieur ne peut se former comme j'ai dit qu'il se forme dans le ventre supérieur, mais il se produit, ainsi que je l'ai déjà dit, en des tuniques et des tumeurs, et, s'il pointe en dedans, le reconnaître est difficile, car on ne peut s'en assurer par la succussion. C'est surtout par la douleur, là où elle se fait sentir, qu'on le découvre; et, si l'on applique de l'argile à potier ou toute autre substance de ce genre sur le lieu, elle se dessèche en peu de temps.

ἐμ (bis) H. – ἐκποιέει (bis) θ. – ἐμπύει (bis) vulg. – θλασθῇ GIJK. – τε ἐκ vulg. – τε om. θ. – παρὰ I. — [11] τε καὶ HJKθ. – τούτοις θ. – τὸ πῦον θ, Mack. – πύος (πῦος Kühn) sine τὸ vulg. – ὑγιὲς θ. – δ' EH. – δὲ κρατῇ ἔσω αὐτόματον θ. — [12] πῦον θ. — [13] ἐνγ. ubique θ. – μοι om. θ. – εἴρηταί μοι J. — [14] ἔσω θ. – οὐδὲ Lθ, Lind., Mack. – οὔτε vulg. — [15] γνῶναι θ. – τῇ τε θ. – ἂν θ. – ἂν om. vulg. – ᾗ θ. – καταπλάσσῃς J. — [16] γῇ Mack. – Mack a pris cette leçon à Gal. Gloss.: γῇ κεραμίτιδι, τῇ ἀργίλῃ. – ἄλλο K. – δι' om., restit. al. manu E.

18. Ἐρυσίπελας [1]δὲ ἐν τῷ πλεύμονι γίνεται, ὅταν ὑπερξηρανθῇ ὁ πλεύμων· ὑπερξηραίνεται δὲ καὶ ὑπὸ καύματος, καὶ ὑπὸ πυρετῶν, καὶ ὑπὸ ταλαιπωρίης καὶ ἀκρασίης· καὶ [2]ὁκόταν ὑπερξηρανθῇ, ἕλκει τὸ αἷμα ἐφ' ἑωυτὸν, μάλιστα μὲν καὶ πλεῖστον ἐκ τῶν μεγάλων φλεβῶν· αὗται γὰρ αὐτῷ [3]ἐγγυτάτω εἰσὶ, καὶ ἐπίκεινται ἐπ' αὐτῷ· ἕλκει δὲ καὶ ἐκ τῶν ἄλλων τῶν [4]πλησίον· ἕλκει δὲ τὸ λεπτότατον καὶ ἀσθενέστατον. Ὁκόταν [5]δ' εἰρύσῃ, πυρετὸς ἀπ' αὐτοῦ γίνεται ὀξὺς, καὶ βὴξ ξηρὴ, καὶ πληθώρη ἐν τοῖσι στήθεσι, καὶ ὀδύνη ὀξέη ἐν τοῖσιν ἔμπροσθεν [6]καὶ ὄπισθεν, μάλιστα δὲ κατὰ τὴν ῥάχιν, ἅτε τῶν φλεβῶν τῶν μεγάλων διαθερμαινομένων· καὶ ἐμέουσιν ἄλλοτε [7]μὲν ὕφαιμον, ἄλλοτε δὲ πελιδνόν· ἐμέουσι δὲ καὶ φλέγμα καὶ χολήν· καὶ ἐκψύχουσι πυκνά· ἐκψύχουσι δὲ διὰ τοῦ αἵματος τὴν μετάστασιν ἐξαπίνης [8]γενομένην. Καὶ μάλιστα διασημαίνει τοῦτο, ὅταν ἐπὶ τοῦ πλεύμονος ἐπιγένηται ἐρυσίπελας, καὶ τοῦ πυρετοῦ [9]ἔῃ συνεχὴς λῆψις. Τούτῳ ἢν μὲν δύο ἢ τριῶν ἢ τεσσάρων τὸ πλεῖστον ἡμερέων διαχυθῇ καὶ μεταστῇ τὸ ἔνδον [10]ἐς τὸ ἔξω, ὑγιὴς γίνεται ὡς τὰ πολλά· ἢν δὲ μὴ διαχυθῇ καὶ μεταστῇ, ἐνσήπεταί τε καὶ ἔμπυος γίνεται, καὶ [11]ἀπόλλυται· ἀπόλλυται δὲ δι' ὀλίγου, ὅτε τοῦ πλεύμονος διαπύου ἐόντος ὅλου καὶ σαπροῦ· ἢν [12]δὲ ἔξω καταχεχυμένον ἔσω τράπηται καὶ λάβῃ τοῦ πλεύμονος, τοῦτον οὐδεμίη ἐλπὶς περιγενέσθαι· ὅταν γὰρ προαπεξηρασμένος ὁ πλεύμων εἰρύσῃ ἐς ἑωυτὸν, οὐκ ἂν ἔτι μεταστaίη, ἀλλὰ παραχρῆμα ὑπὸ τοῦ καύματος καὶ τῆς ξηρασίης [13]οὐκ ἔτι δέχεται οὐδὲν, οὔτε ἄνω ἀναδιδοῖ οὐδὲν, ἀλλὰ διέφθειρεν.

19. [14]Φῦμα δὲ γίνεται ἐν τῷ πλεύμονι ὧδε· ὁκόταν φλέγμα ἢ

βῶν, αἳ φέρονται ἐς τὰ ὦτα, καὶ πιέζουσι τὰ ὦτα· ἄλλαι δύο φλέβες ἐκ τῆς [1]συγκλείσεως τοῦ ὀστέου ἐς τὰς ἀκοὰς φέρονται. Αἱ δὲ κάτω τοῦ σώματος τετραμμέναι, δύο μὲν φλέβες παρὰ τοὺς τένοντας τοῦ τραχήλου, φέρονται [2]δὲ καὶ παρὰ τοὺς σπονδύλους, καὶ τελευτῶσιν ἐς τοὺς νεφρούς· αὗται δὲ καὶ [3]ἐς τοὺς ὄρχιας περαίνουσιν, καὶ ὅταν αὗται πονέσωσιν, αἷμα οὐρέει ὥνθρωπος. [4]Ἄλλαι δύο φλέβες ἀπὸ τῆς κορυφῆς φέρονται ἐς τοὺς ὤμους, καὶ δὴ καὶ ὠμιαῖαι καλέονται. Ἄλλαι δύο φλέβες ἀπὸ τῆς κορυφῆς παρὰ τὰ ὦτα ἐν τοῖς ἔμπροσθεν τοῦ τραχήλου ἑκατέρωθεν ἐς τὴν κοίλην φλέβα [5]καλεομένην φέρονται. Ἡ δὲ κοίλη φλὲψ περαίνεται μὲν ὡς ὁ οἰσοφάγος, πέφυκε δὲ μεταξὺ τοῦ [6]τε βρόγχου καὶ τοῦ οἰσοφάγου· φέρεται δὲ διὰ τῶν φρενῶν καὶ διὰ τῆς καρδίης καὶ μεταξὺ τῶν φρενῶν, καὶ σχίζεται ἐς τοὺς βουβῶνας καὶ ἐς τοὺς μηροὺς ἐντὸς, καὶ τὰς διασφαγὰς ἐν τοῖσι μηροῖσι ποιέεται, καὶ ἐς τὰς κνήμας φέρεται [7]ἐντὸς παρὰ τὰ σφυρά· αὗται καὶ ἄκαρπον ποιέουσι τὸν ἄνθρωπον ὅταν ἀποτμηθῶσιν, [8]αἳ καὶ ἐς τοὺς μεγάλους δακτύλους τελευτῶσιν. Ἐκ δὲ τῆς κοίλης φλεβὸς ἀποπέφυκεν ἐς τὴν χεῖρα τὴν ἀριστερήν· [9]φέρεται δ' ὑποκάτω τοῦ σπληνὸς ἐς τὴν λαπάρην τὴν ἀριστερὴν, ὅθεν ὁ σπλὴν ἀποπέφυκε διὰ τοῦ ἐπιπλόου, καὶ τὴν ἀποτελεύτησιν ἴσχει ἐς τὸν κίθαρον· ἀποπέφυκε δὲ κατὰ τὰς φρένας, καὶ ξυμβάλλει τῇ ὠμιαίῃ κάτω τοῦ ἄρθρου τοῦ ἀγκῶνος, καὶ τοῦ [10]σπληνὸς τάμνεται αὕτη· καὶ ἄλλη ἐς τὴν δεξιὴν τὸν αὐτὸν τρόπον ἀποπέφυκεν ἀπὸ τῆς [11]κοίλης. Κοινωνέουσι δὲ πᾶσαι αἱ φλέβες καὶ διαῤῥέουσιν ἐς ἑωυτάς· αἱ μὲν γὰρ [12]σφίσιν ἑωυταῖς ξυμβάλλουσιν, αἱ δὲ διὰ τῶν φλεβίων τῶν διατεταμένων ἀπὸ τῶν φλεβῶν, αἳ τρέφουσι τὰς σάρκας, ταύτῃ διαῤῥέουσι πρὸς ἑωυτάς.

4. Καὶ ἀπὸ τῶν φλεβῶν ὅ τι ἂν [13]νόσημα γένηται, ῥᾷόν ἐστιν ἢ ἀπὸ τῶν νεύρων· διαῤῥεῖ γὰρ σὺν τῷ ὑγρῷ τῷ ἐνεόντι ἐν τῇσι φλεψὶ, καὶ οὐκ ἀτρεμίζει· καὶ ἡ φύσις τῇσι φλεψὶν ἐν ὑγρῷ ἐστιν ἐν τῇσι

[1]Συνκλήσεως A. - συγκλίσεως E. - συγκλίσεος C. — [2]δὲ om. K', Mack. - σφονδύλους A. — [3]ἐς om. A. - παραίνουσιν A. - πονήσωσιν A, Zwing., Lind. - αἶνα (sic) pro αἷμα C. - ὥνθρωπος A. - ἄνθρωπος vulg. — [4]ἄλλαι.... καλέονται om. A. - ὠμιαίαι (sic) E, Ald. - ὠμίαι (sic) C. — [5]καλεουμένην (sic) Lind. — [6]τε om. C. — [7]ἐν τοῖς pro ἐντὸς C. — [8]ἃ Ald. — [9]φέρεται.... ἀριστερὴν om. A. - ἐπιπλοίου A. - ἔχει A. - ἀγγῶνος C. — [10]ἀγκῶνος pro σπλ. A. - τάμνεται A. - τέμν. vulg. — [11]κοιλίης vulg. - κοίλης K', Lind., Mack. - κοίλης est la leçon suivie par tous les traducteurs. — [12]σφῆσιν ἢ ἑωυταῖς C.

sont au milieu entre les oreilles et les veines; celles-là se portent aux oreilles et les pressent. Deux autres veines, allant de la fermeture de l'os, se portent à l'ouie. Quant aux veines tournées vers le bas du corps, deux veines sont le long des tendons du cou, elles se portent aussi le long des vertèbres et finissent aux reins; elles arrivent aussi aux testicules, et, quand elles souffrent, l'homme urine du sang. Deux autres veines se portent du sinciput aux épaules et sont pour cela dites scapulaires. Deux autres veines se portent du sinciput, le long des oreilles, dans la partie antérieure du cou, des deux côtés, jusqu'à la veine dite cave. La veine cave marche avec l'œsophage; elle se trouve entre la trachée et l'œsophage, elle passe à travers le diaphragme, à travers le cœur et dans l'intervalle du diaphragme, elle se partage aux aines et aux cuisses en dedans, fait les divisions dans les cuisses, et se porte aux jambes en dedans le long des malléoles; ces veines, coupées, rendent l'homme impuissant (Des airs, des eaux et des lieux, § 22); elles se terminent dans les gros orteils. De la veine cave une veine se rend au bras gauche; elle se porte par dessous la rate au flanc gauche, auquel tient la rate par l'épiploon, et se termine à la poitrine; elle est née vers le diaphragme, et se joint à la scapulaire au-dessous de l'articulation du coude; on ouvre cette veine pour les affections de la rate; à droite une veine naît semblablement de la veine cave. Toutes les veines communiquent et s'écoulent l'une dans l'autre; en effet les unes s'abouchent avec elles-mêmes, les autres sont en communication par les veinules partant des veines qui nourissent les chairs.

4. (*Comparaison des maladies provenant des veines avec les maladies provenant des nerfs ou tissu fibreux et musculaire.*) Aussi une maladie provenant des veines est-elle plus commode que provenant des nerfs (*tissu fibreux et musculaire*);

-αἱ δ' ἀπὸ τῶν φλεβίων τῶν ἀποτεταμένων ἀπὸ τῶν φλεβῶν A. — [13] νούσ. (ubique) Lind. -ῥαῖον E, Ald., Zwing., Lind. -ῥέον C. -ἡ ἀπὸ C.

σαρξί. Τὰ δὲ νεῦρα ξηρά τέ ἐστι καὶ ἀκοίλια, καὶ πρὸς τῷ ὀστέῳ πεφύκασιν, καὶ τρέφονται δὲ τὸ πλεῖστον ἀπὸ τοῦ ὀστέου, τρέφονται δὲ καὶ ἀπὸ τῆς σαρκὸς, καὶ τὴν [1]χροιὴν καὶ τὴν ἰσχὺν μεταξὺ τοῦ ὀστέου καὶ τῆς σαρκὸς πεφύκασι, καὶ ὑγρότερα μέν εἰσι τοῦ ὀστέου καὶ σαρκοειδέστερα, ξηρότερα [2]δ' εἰσὶν ἢ αἱ σάρκες καὶ ὀστοειδέστερα· νόσημα δ' ὅ τι ἂν ἐς αὐτὰ ἔλθῃ, ῥώννυταί τε καὶ ἀτρεμίζει ἐν τῷ αὐτῷ, καὶ χαλεπόν ἐστιν ἐξάγειν· μάλιστα [3]δ' ἐσέρχονται τέτανοί τε καὶ ἄλλα, ἀφ' ὧν τρόμος τὸ σῶμα λαμβάνει καὶ τρέμειν ποιέει.

5. Τὰ δὲ νεῦρα πιέζουσι τὰ ἄρθρα, [4]παρατεταμένα τέ εἰσι παρ' ὅλον τὸ σῶμα· ἰσχύουσι δὲ μάλιστα ἐν ἐκείνοισι τοῦ σώματος καὶ [5]αἰεὶ παχύτατά ἐστιν, ἐν οἷσι τοῦ σώματος αἱ σάρκες ἐλάχισταί εἰσι. Καὶ τὸ μὲν σῶμα πᾶν ἔμπλεον νεύρων· περὶ δὲ τὸ πρόσωπον καὶ τὴν κεφαλὴν οὐκ ἔστι νεῦρα, [6]ἀλλὰ ἶνες παρόμοιαι [7]νεύροις μεταξὺ τοῦ τε ὀστέου καὶ τῆς σαρκὸς λεπτότεραι καὶ στερεώτεραι, αἱ δὲ νευροκοίλιοι.

6. [8]Αἱ κεφαλαὶ ῥαφὰς ἔχουσιν, αἱ μὲν τρεῖς, αἱ δὲ τέσσαρας· αἱ μὲν τέσσαρας ἔχουσαι, κατὰ τὰ ὦτα [9]ἑκατέρωθεν ῥαφὴ, ἄλλη ἔμπροσθεν, ἄλλη [10]ἐξόπισθεν τῆς κεφαλῆς, οὕτω μὲν ἡ τὰς τέσσαρας ἔχουσα· ἡ δὲ τὰς τρεῖς, [11]κατὰ τὰ ὦτα ἑκατέρωθεν, καὶ ἔμπροσθεν· ὥσπερ δὲ [12]ἡ τὰς τέσσαρας ἔχουσα, οὐ διαπέφυκεν οὐδὲ ταύτῃ ῥαφή· ὑγιεινότεροι [13]δ' εἰσὶ τὴν κεφαλὴν οἱ τὰς πλέονας ῥαφὰς ἔχοντες. Ἐν τῇσιν ὀφρύσι [14]διπλόον τὸ ὀστέον, καὶ ἡ σύγκλεισις τῶν γενύων ἔν τε

[1]Χροιὴν ACE, Ald., Zwing., Lind., Mack. - χροὴν vulg. — [2]δὲ C. - ἂν om. A. — [3]δὲ AC. - ἔρχονται A. — [4]παρατεταμένη C. - εἰσιν A. - ἐστι vulg. — [5]αἰεὶ A, Mack. - ἀεὶ vulg. - ἔμπλεων C, Ald. — [6]ἀλλ' A. - ἶνες C. — [7]νεύρων C. - αἱ δὲ νευροκοίλιοι om. Lind. - νευροκοίλιαι C. - Struve, dans le Dict. de Schneider, Suppl., pense que l'opposition exige εὐρυκοίλιοι au lieu de νευροκοίλιοι, et qu'alors, d'après une tournure connue, il faut sous-entendre αἱ μὲν devant λεπτότεραι. Mais que sont ces *fibres*, semblables à des νεῦρα, et dont la cavité est large, εὐρυκοίλιοι? je pense que dans un passage aussi obscur il ne faut pas toucher au texte. Ces fibres νευροκοίλιοι seraient-elles les conduits que l'on trouve à la face, à savoir ceux des glandes parotides et sublinguales? — [8]Ante αἱ addunt in titulo ἄρθρα AC. — [9]ἑκ. [ἐστι] ῥαφὴ Lind. — [10]ἐξοπίσθη μὲν τῆς C. - οὕτως C. — [11]κατὰ om. Lind. - ὦτά [ἐστιν] ἑκ. Lind. — [12]καὶ pro ἡ C. - ῥαφῆ A. - Ce passage difficile est ainsi dans les traducteurs : At velut in eo capite, quod quatuor habet suturas, hac parte, posteriore scilicet, nulla sutura enascitur. Cette traduction s'éloigne complètement du texte. Pour moi, j'ai

elle s'écoule avec le liquide contenu dans les veines, et n'a pas de fixité; et par leur nature les veines sont dans l'humide au milieu des chairs. Mais les nerfs sont secs, sans cavité, et appliqués contre l'os; la plus grande partie de la nourriture leur vient de l'os, il leur en vient aussi de la chair; pour la consistance ils tiennent le milieu entre l'os et la chair, plus humides il est vrai et plus charnus que l'os, mais plus secs que la chair et plus osseux. Une maladie qui y survient, s'y fortifie, reste fixée au même point, et il est difficile de la chasser; ce qui arrive surtout ce sont des tétanos et autres affections produisant le tremblement et faisant trembler le corps.

5. (*Des nerfs, ou tissu fibreux et musculaire.*) Les nerfs pressent les articulations et sont étendus dans toute la longueur du corps, puissants particulièrement et toujours le plus gros là où il y a le moins de chairs. Le corps entier est plein de nerfs; cependant au visage et à la tête il y a non pas des nerfs, mais des fibres semblables aux nerfs, plus ténues et solides, placées entre l'os et la chair; quelques unes sont des nerfs creux.

6. (*Description des os et de leurs attaches.*) La tête a des sutures, tantôt trois, tantôt quatre. Dans la tête à quatre sutures, une est aux oreilles de chaque côté, une autre en avant, une autre en arrière; telle est la tête à quatre sutures. La tête à trois sutures en a une de chaque côté aux oreilles, et une en avant. Dans celle-ci, pas plus que dans la tête à quatre, il n'y a de suture en travers (*voy. note* 12). Ceux qui ont un plus grand nombre de sutures ont la tête plus saine. Aux sourcils l'os est double. L'articulation des mâchoires est au

traduit mot à mot. Il ne serait pas impossible que cette phrase fût une réponse au passage du livre des Plaies de tête où il est dit § 1 : « La tête qui n'a de proéminence ni dans un sens ni dans l'autre a les sutures disposées comme la lettre *chi*, X. » — [13] δὲ A. – πλείονας A. – Ante ἐν addunt in titulo ἄρθρα AC. — [14] διπλόον A. – διῆλθον (διῆλθεν L, Mack) vulg. – σύκλεισιν (sic) C. – γεννύων C.

τῷ [1]γενείῳ μέσῳ καὶ ἄνω πρὸς τῇ κεφαλῇ. Σπονδύλους οἱ μὲν πλέονας, οἱ [2]δὲ ἐλάσσονας ἔχουσιν· καὶ οἱ μὲν [3]πλέονας ἔχοντες, [4]δυοῖν δεόντοιν εἰκοσίν εἰσιν, ὧν [5]οἱ μὲν ἄνω πρὸς τῇ κεφαλῇ, [6]οἱ δὲ κάτω πρὸς τῇ ἕδρῃ. [7]Πλευραὶ ἑπτά· τὰ μὲν ὄπισθεν τοῦ σώματος πρὸς τοὺς σπονδύλους, τὰ [8]δ' ἔμπροσθεν ἐν τῷ στέρνῳ πρὸς ἑωυτάς. Κλεῖδες ἄρθρα ἔχουσι, τὰ μὲν ἐν μέσῳ τοῦ στέρνου κατὰ τὸν βρόγχον, κατὰ ταῦτα ἤρθρωνται· τὰ δὲ πρὸς τοὺς ὤμους κεκλιμένα πρὸς τὰς πλάτας, [9]αἳ ἐπὶ τοῖς ὤμοις αἰεὶ πεφύκασιν. Αἱ δὲ πλάται πρὸς τὰ γυῖα ἤρθρωνται, [10]ἐπιϐάλλουσαι ἐπὶ τὸ ὀστέον τὸ ἐν τῷ γυίῳ. Παρὰ δὲ τὸ ὀστέον [11]περόναι δύο παρήκουσιν, ἡ μὲν ἔνδοθεν, ἡ [12]δὲ ἐκτὸς, αἳ πρὸς τὰς πλάτας τῷ ὀστέῳ προσπεφυκυῖαι [13]ἤρθρωνται. Κάτω δ' ἐν τῷ ἀγκῶνι, κάτω μὲν [14]περόνῃ ἤρθρωνται κατὰ τὸ πεφυκὸς κοιλανῶδες, ἄνω δὲ σμικρῷ τῆς περόνης ἐς τὸν ἀγκῶνα τό τε ὀστέον καὶ ἡ πέρονη ἐς τὸ αὐτὸ συμϐάλλοντα ἄρθρον ἐν τῷ [15]κυβίτῳ ποιέουσιν. Παρὰ [16]δὲ τὸν πῆχυν περόναι παρήκουσι λεπταὶ πάνυ τέσσαρες, αἱ μὲν δύο ἄνω, αἱ δὲ δύο κάτω· καὶ πρὸς μὲν τὸν ἀγκῶνα δύο περόναι [17]πεφυκυῖαι ἄνω ἐκ τοῦ ὀστέου [18]πεφύκασιν, αὗται σὺν τῷ ὀστέῳ [19]πεφυκυῖαι παρὰ τὸ τοῦ ὀστέου ἄρθρον ἤρθρωνται ἐς [20]τὸ κύϐιτον· αἱ δὲ κάτω κείμεναι καὶ ἐντὸς κεκλιμέναι, αὗται ἀμφότεραι ξυμϐάλλουσαι πρὸς τὴν περόνην τὴν ἄνωθεν ἀπὸ τοῦ γυίου φερομέ-

[1] Γενύῳ A. – ἐν pro πρὸς A. – σφονδύλους (ubique) A. – πλείονας (bis) A. — [2] δ' A. — [3] ἐλάσσονας Lind., Mack. – Ce changement de πλ. en ἐλ. est adopté par les traducteurs. Pour quelle raison, je ne le vois pas. — [4] δυοῖν δὲ ὄντας εἴκοσιν ἔχουσι, σὺν τοῖς δ' ἐσχάταις (sic) εἰκοσίν εἰσιν A. – δέοντες C. – Ce passage me paraît inintelligible, avec ou sans l'addition fournie par A. Le texte est altéré ou se rapporte à quelque erreur d'anatomie. Comparez Des Articulations, § 45, t. IV, p. 195, note 13, où l'on voit que des commentateurs avaient prétendu qu'Hippocrate ne comptait pas dans le *rachis* la portion cervicale. — [5] ὁ μὲν C. – ἕδρη τῆς κεφαλῆς pro κεφαλῇ AC, Ald. — [6] ὁ δὲ C, Ald. — [7] ἄρθρα in titulo C; ἄρθρα τῶν πλευρέων A. — [8] δὲ C. – ἑωυτὸν C. — [9] ἃ Lind., Mack. – ἄρθροις pro ὤμοις A. – αἰεὶ E. – ἀεὶ vulg. (ἀεὶ om. A). – γυία A. – γύα C. — [10] Ante ἐπιϐ. addunt τὰ δὲ πρὸς τοὺς ὤμους C, Zwing. in marg. – ἐπιϐάλουσαι (sic) C. – ὑγύῳ pro γυίῳ C. — [11] Érot., p. 304 : περόνας, τὰς κονδυλώδεις τῶν ὀστῶν ἐπαναστάσεις· οὕτω κεῖται νῦν (in libro de Locis in homine)· ὁτὲ δὲ ἀντὶ τῆς κερκίδος τάττει τὴν λέξιν. Διαγόρας δὲ ὁ Κύπριός φησι τὰ προαιρετικὰ νεῦρα περόνας αὐτὸν καλεῖν. Gal. Gloss., p. 544 : περόνην, ποτὲ μὲν ὀστοῦν ὅλον κώλου, ποτὲ δὲ ἐπίφυσιν αὐτοῦ, ποτὲ δὲ ἐπιφύσεως ἐπανάστασιν. Pour moi, je pense que περόνη, qui proprement signifie *boucle*, a ici le sens d'*attache*. C'est, à mon

milieu du menton et, en haut, à la tête. Vertèbres : les uns en ont plus, les autres moins ; ceux qui en ont plus, en ont dix-huit (*voy. note* 4), dont les supérieures sont vers la tête et les inférieures vers le siége. Il y a sept côtes, jointes en arrière aux vertèbres, en avant à elles-mêmes dans le sternum. Les clavicules ont des articulations, d'une part situées au milieu du sternum contre la trachée (c'est là qu'elles s'articulent), d'autre part inclinées vers les surfaces plates qui sont toujours aux épaules (*omoplates*). Les surfaces plates (*omoplates*) sont articulées avec les membres et surplombent l'os du membre (*humérus*). Près de cet os sont deux attaches, l'une en dedans, l'autre en dehors, qui forment l'articulation par la jonction des surfaces plates (*omoplates*) avec l'os. En bas au coude, l'articulation se fait par une attache dans la cavité naturelle ; un peu au-dessus de l'attache au coude, l'os et l'attache se rencontrant forment une articulation à l'olécrane. A l'avant-bras s'avancent quatre attaches très-minces, deux en haut, et deux en bas ; au coude, deux attaches situées en haut naissent de l'os ; formées ainsi avec l'os près de l'articulation de l'os, elles s'articulent à l'olécrane. Celles qui sont en bas, étant tournées en dedans, et se rencontrant toutes deux avec l'attache supérieure qui vient de l'os, s'articulent en dedans du membre et forment ce qu'on nomme l'attache, par leur ren-

gré, le seul moyen de se tirer de cette description, qui reste toujours fort embarrassée. Ce qui me paraît écarter le sens d'*apophyse* donné par des commentateurs anciens, c'est que l'auteur attribue très-clairement, un peu plus loin, p. 288, l. 15, le nom de δίκραιος aux apophyses.— [12] δ' A. -αἳ om. A.-αἳ [μὲν] πρὸς Lind. -αἳ Mack. -τὰ πλάτα (sic) C. — [13] ἤρθρωνται κάτω· αἱ δ' (δὲ C) ἐν τῷ vulg. -ἤρθρωνται· κάτω δ' ἐν τῷ A. — [14] περώνη C. -περόνη ἤρθρωται A. -κάτω πεφυκυῖαι (πεφυκυῖα A) vulg. -κατὰ τὸ πεφυκὸς κοιλανῶδες pro κάτω πεφυκυῖαι C, Zwing. in marg., Mack. -ἄνω δὲ σμικρῷ om. C. -ταὐτὸ A. — [15] Érot., p. 212 : κυβίτῳ, Βακχεῖός φησι κυβοειδεῖ ὀσταρίῳ, τῇ πτέρνῃ· οἱ δὲ πλείους, τῷ ἀγκῶνι. Gal. Gloss. : κύβιτον, τὸ ὠλέκρανον, ὅπερ καὶ ἀγκών· Διοσκουρίδης δὲ τὸν κόνδυλον τοῦ βραχίονος οὕτως ὠνομάσθαι φησί. -τῷ κυβίτῳ (τῷ ἀγκῶνι) ποιέουσιν Mack. — [16] δὲ post πῆχυν A. -δύο ἄνω, αἱ δὲ om. C. — [17] πεφύκασιν C. — [18] πεφύκασιν om. C. — [19] πεφυκότι C. — [20] τὸν Lind.

νην, ἐντὸς τοῦ γυίου [1] ἤρθρωνται, καὶ πέρονην καλευμένην ποιέουσιν, αὗται ἑωυταῖς ξυμβάλλουσαι ἐν τῷ κυβίτῳ ἐντός. Κάτω δὲ πρὸς τὴν χεῖρα τὸ ὀστέον ἄρθρον [2] ἔχει· αἱ δὲ περόναι ταύτῃ ἁπαλῇ ἐούσῃ, αἱ μὲν δύο οὐκ ἐξήκουσιν ἐς τὸ ἄρθρον, ἡ δ' ἄνω καὶ ἡ κάτω σὺν τῷ ὀστέῳ ἤρθρωνται πρὸς τὴν χεῖρα. Αἱ δὲ χεῖρες ἄρθρα ἔχουσι πολλά· ὅσα γὰρ ὀστέα πρὸς [3] ἑωυτὰ συμβάλλουσι, πάντα ἄρθρα ποιέουσιν. Δάκτυλοι ἄρθρα ἔχουσι [4] πολλὰ, ἕκαστος τρία, ἓν μὲν ὑπὸ τῷ ὄνυχι ἐν μέσῳ τοῦ τε ὄνυχος καὶ τοῦ κονδύλου, [5] ἄλλο ἐν τῷ κονδύλῳ, ᾗ καὶ [6] ξυγκάμπτουσι τοὺς δακτύλους, ἄλλο τρίτον, ᾗ ὁ δάκτυλος ἀπὸ τῆς χειρὸς ἀποπέφυκεν. Ἐν δὲ τοῖσιν ἰσχίοισιν ἄρθρα δύο εἰσὶν αἱ κοτύλαι καλεύμεναι, καὶ οἱ μηροὶ ἐς ταῦτα ἐνήρθρωνται· παρὰ δὲ τοὺς μηροὺς περόναι δύο παρήκουσιν, ἡ μὲν ἐντὸς, ἡ δ' ἐκτὸς, καὶ ἐς τὸ ἄρθρον οὐδετέρη ἐξήκει οὐδ' ἑτέρωθεν, ἀλλὰ πρὸς τῷ ὀστέῳ προσπεφύκασι πρὸς τῷ μηρῷ. Ὁ δὲ μηρὸς ἄνωθεν μὲν, ᾗ ἐς τὴν κοτύλην ἐμβάλλει, [7] δίκραιός ἐστι τοιῇδε δικραιότητι· ἐπὶ μὲν τοῦ ἐντὸς κεκλιμένου τῶν δικραίων ἐπὶ τοῦ ἄκρου [8] ἐπιπέφυκεν στρογγύλον καὶ λεῖον, ὃ καὶ ἐς τὴν κοτύλην ἐμβάλλει, τὸ δ' ἕτερον τὸ ἔλασσον τῶν δικραίων [9] τὸ ἐκτὸς μᾶλλον ἔξω ἐξέχει, καὶ φαίνεται ἐν τῷ πυγαίῳ κάτω, καὶ ἰσχίον καλέεται. Πρὸς δὲ [10] τὸ γόνυ τὸ ὀστέον τοῦ μηροῦ τοιόνδ' ἐστὶ δίκραιον· τῷ δὲ δικραίῳ [11] τούτῳ τὸ ὀστέον ἡ κνήμη καλεομένη οἷον ἐν γιγγλύμῳ ἐνήρμοσται· ἄνωθεν δὲ τοῦ ἐνηρμοσμένου ἡ μύλη ἐπίκειται, ἣ ἀποκωλύει ἐς τὸ ἄρθρον [12] ἀναπεπτάμενον ἐσβῆναι τὴν ὑγρότητα τὴν ἀπὸ τῆς σαρκός. Παρὰ δὲ τὴν κνήμην περόναι δύο παρήκουσιν, [13] αἳ κάτωθεν μὲν πρὸς τοῦ ποδὸς ἐς τὰ σφυρὰ τελευτῶσιν, ἄνωθεν δὲ πρὸς τοῦ γόνατος [14] οὐκ ἐξήκουσι πρὸς τὸ ἄρθρον. Πρὸς δὲ τὸν πόδα ἡ κνήμη κατὰ τὰ σφυρὰ ἄρθρον ἔχει, καὶ ἄλλο κατώτερον

[1] Ἤρθρων (sic) A. – Il est impossible de rien voir de plus obscur que cette description de l'articulation du coude; elle semble même, à certains égards, faite d'imagination, comme la description des veines, qui, dans les livres hippocratiques, sont supposées partir de la tête. On pourrait croire que le texte est altéré; mais cela n'est pas probable; car les critiques anciens s'étaient partagés sur le sens des mots, si bien que περόνη était interprété par *éminence osseuse*, par *radius*, par *nerfs*, par *os entier du membre*, et κύβιτον par *coude*, par *calcanéum*, par *olécrane*, par *condyle de l'extrémité de l'humérus.* Que tirer de passages où le sens des mots est aussi incertain? Au reste, comme on l'a vu plus haut, j'ajoute une nouvelle conjecture, traduisant περόνη par *attache*. — [2] ἔχῃ A. – ἁπαλῇ ἐούσῃ

contre commune dans l'olécrane en dedans (*voy. note* 1). En bas, vers la main, l'os a une articulation ; à la main, qui est molle, deux des attaches ne s'avancent pas dans l'articulation ; celle d'en haut et celle d'en bas se joignent avec l'os à la main. La main a beaucoup d'articulations ; en effet autant d'os se rencontrent, autant il y a d'articulations. Les doigts ont beaucoup d'articulations, chacun trois : l'une au-dessous de l'ongle, entre l'ongle et le condyle, l'autre dans le condyle là où les doigts se fléchissent, la troisième là où le doigt naît de la main. Aux hanches il y a deux articulations nommées cotyles, les fémurs s'y articulent ; aux fémurs sont deux attaches l'une en dedans, l'autre en dehors ; elles ne font saillie ni dans l'articulation ni sur les côtés, mais elles sont adhérentes à l'os de la cuisse. Le fémur, à son extrémité supérieure, là où il entre dans la cotyle, est bifurqué de la façon que voici : à l'extrémité de la bifurcation qui regarde en dedans, est une tête lisse qui est reçue dans la cotyle ; l'autre bifurcation, qui est moindre, est tournée surtout en dehors, se montre en bas à la fesse et est nommée hanche. Au genou l'os de la cuisse est également bifurqué ; dans cette bifurcation est engrené, comme en un ginglyme, l'os dit de la jambe. En haut de cet os engrené repose la rotule, qui empêche l'humidité provenant de la chair de s'introduire dans l'articulation venant à s'étendre. A la jambe s'allongent deux attaches qui, d'une part, en bas, se terminent vers le pied aux malléoles, et d'autre part en haut ne s'avancent pas dans le genou.

C.-ἁπαλαὶ ἐοῦσαι vulg. —[3] ἑωυτὰς C.-ξυμϐ. Lind.-λαμϐάνουσι, al. manu συμϐάλλουσι A.-ὁκόσα γὰρ ὀστέοισι ξυμϐάλλουσι, πάντα ἄρθρα ποιέουσι, Érot. au mot ἄρθρα, p. 68. —[4] πολλὰ om. A. —[5] ἄλλο δὲ ἐν Lind., Mack.-ᾗ C. —[6] σ. A. —[7] δίκραιος, al. manu κρε A.-δίκρανος L.-Érot., p. 118 : δίκρανα, τὰ διῃρημένα εἰς δύο καὶ οἷον δίχηλα καὶ δικόρυφα. —[8] πέφυκεν K'. -ὃς pro ὃ C. —[9] τὸ om. Lind., Mack. —[10] τῷ A.-τοιόνδε C. —[11] τοῦτο A. -γιγγλύμω A.-γιγλύμῳ vulg.-μυλίῃ A. —[12] ἀναπεπτάμενον A.-ἀναπεπταμένον (sic) C, Ald., Zwing., Lind., Mack.-ἀναπεπταμένων vulg. —[13] αἳ Ald.-τοὺς πόδας A.-ἐς A.-ἐς om. vulg.-γούνατος A. —[14] οὐδ' Lind.-οὐδὲ Mack.

τῶν σφυρῶν, καὶ ἐν τοῖσι ποσὶν ἄρθρα πολλὰ, ὥσπερ καὶ ἐν [1] τῇσι χερσίν· ὅσα γὰρ [2] ὀστέα, τοσαῦτα καὶ [3] ἄρθρα, καὶ ἐν τοῖσι δακτύλοισι τῶν ποδῶν τὸν ἀριθμὸν [4] ἴσα κατὰ τὰ αὐτά. Ἄρθρα δὲ πολλὰ ἐν τῷ σώματι σμικρὰ, οὐχ ὁμοίως πᾶσιν, ἀλλὰ ἄλλα ἄλλοις· ταῦτα δὲ τὰ γεγραμμένα πᾶσιν ὁμοίως εἰσὶν, [5] καὶ φλέβες αἱ γεγραμμέναι πᾶσιν ὁμοίως εἰσὶν, ἄλλα τε φλέβιά εἰσιν ἄλλοις, ἀλλ' οὐκ ἄξια λόγου.

7. [6] Μύξα πᾶσίν ἐστι φύσει, καὶ ὅταν αὕτη καθαρὴ ᾖ, ὑγιαίνουσι τὰ ἄρθρα, καὶ διὰ τοῦτο εὐκίνητά ἐστιν, [7] ὥστε ὀλισθαίνοντα πρὸς ἑωυτά. Πόνος δὲ καὶ ὀδύνη γίνεται, ὅταν ἀπὸ τῆς σαρκὸς ὑγρασίη ῥυῇ [8] πονησάσης τι· πρῶτον μὲν πήγνυται τὸ ἄρθρον, οὐ γὰρ ὀλισθηρὴ ἡ ὑγρότης ἡ ἐπεῤῥυηκυῖα ἀπὸ τῆς σαρκός· ἔπειτα, ὥστε πολλὴ λίην [9] γενομένη, καὶ οὐκ ἀρδομένη ἐκ τῆς σαρκὸς αἰεὶ, ξηραίνεται, καὶ ὥστε πολλὴ ἐοῦσα καὶ οὐ χωρεῦντος τοῦ ἄρθρου [10] ἐκρεῖ, κακῶς τε πεπηγυῖα μετεωρίζει [11] τὰ νεῦρα, οἷσι τὸ ἄρθρον συνδέδεται, καὶ ἄδετα ποιέει καὶ διαλελυμένα, καὶ διὰ τοῦτο χωλοὶ γίνονται, καὶ ὅταν μὲν τοῦτο μᾶλλον [12] γίνηται, μᾶλλον, ὅταν [13] δὲ ἧσσον, ἧσσον.

8. Ἐς δὲ τὴν κοιλίην καὶ τὰ ἐσθιόμενα καὶ [14] τὰ πινόμενα χωρέουσιν, ἐκ δὲ τῆς κοιλίης ἶνες ἐς τὴν κύστιν, ᾗ διηθεῖ τὸ ὑγρὸν, τεταμέναι εἰσίν.

9. Ῥόοι δὲ γίνονται καὶ διαψυχομένης τῆς σαρκὸς λίην, καὶ [15] δια-

[1] Ταῖς C. — [2] τὰ ὀστέα vulg. - J'ai supprimé cet article inutile. Voyez la phrase parallèle p. 288, l. 6. — [3] καὶ τὰ ἄρθρα A. — [4] Les manuscrits et Vulg. ont partout l'accent circonflexe sur ce mot. - τὰ αὐτὰ A. - ταῦτα vulg. - μικρὰ C. — [5] καὶ φλ. αἱ γεγρ. π. ὁμ. εἰσὶν A. - καὶ.... εἰσὶν om. vulg. - φλεβία A. — [6] περὶ πόνων τῶν ἐν τοῖς ἄρθροισιν in tit. A. - μῦξα E, Ald., Frob., Zwing. - μῦξαι πᾶσί εἰσι φυσικαὶ, ὅταν C. - ἔνεστι A. - καθαρθῇ pro καθαρὴ ᾖ A. - Post τοῦτο addunt καὶ AC. — [7] ὥστε a ici le sens de ἅτε. - ὀλισθένοντα C. - ὀλισθάνοντα (sic) E, Ald., Frob., Zwing. - ὑγράσει C. — [8] πονησάσης τί· πρῶτον A. - πονησάσῃ· τὸ πρῶτον vulg. - μὲν γὰρ pro μὲν K'. - μὲν [ὅτι] Lind. - ἡ ἐπερρυήκοι A. - περρηκυῖα (sic) C. - ὅτι pro ὥστε Lind. — [9] γενομένη A. - τενομένη (sic) C. - νεμομένη vulg. - αἰεὶ E, Lind. - ἀεὶ vulg. — [10] ἐκρεῖ AC, Ald. - ἐκχεῖ vulg. - ἐκχεῖται K', Lind. - μετεωρίζοι C. — [11] Ante τὰ addit τὸ ἄρθρον A. - Post ἄδετα addit δὲ C. - λελυμένα A. - γίγν. (ubique) Lind. — [12] γίνηται A, Kühn. - γίνεται vulg. - γίνηται μᾶλλον om. C. — [13] δ' AC, Ald., Zwing. — [14] τὰ om. C. - ἶνες A. - ᾗ A. - ᾗ vulg. - δεδιηθεῖ (sic) C. — [15] διαθερμαινομαίνης καὶ ὑποφλεγμαινούσης A. - ὑπερφλεγμαινούσης vulg. - φλεγμαίνω, φλεγμασία, φλεγματώδης sont employés dans ce traité avec un sens tout spécial : ils signifient non pas *phlegmasie* ou *phlegmatique*

Vers le pied la jambe a une articulation aux malléoles et une autre au-dessous des malléoles. Dans le pied, comme dans la main, les articulations sont nombreuses, car autant d'os, autant d'articulations; aux orteils le nombre des articulations est le même qu'aux doigts. En outre, il y a dans le corps beaucoup de petites articulations qui ne sont pas semblables chez tous, mais qui varient suivant les individus; au lieu que celles qui viennent d'être décrites sont semblables chez tous, de même que les veines qui ont été décrites; toutefois il y a aussi de petites veines qui varient suivant les individus, mais qui sont sans importance.

7. (*De la mucosité des articulations ou synovie.*) La mucosité (*synovie*) existe naturellement chez tous; quand elle est pure, les articulations sont saines et se meuvent facilement, les os glissant librement les uns sur les autres; mais quand la chair, ayant souffert quelque lésion, y envoie de l'humidité, alors surviennent travail et douleur; d'abord l'articulation devient immobile, car l'humidité provenant de la chair n'est pas onctueuse; puis, étant venue avec grande abondance et n'étant pas alimentée incessamment par la chair, elle se sèche; vu cette abondance, elle ne peut être contenue dans l'articulation, elle s'épanche, et, se consolidant mal à propos, elle soulève les nerfs qui lient l'articulation, les détache, les relâche; ce qui rend le patient boiteux, d'autant plus que le désordre est plus grand, d'autant moins que le désordre est moindre.

8. (*Communication du ventre et de la vessie*). Dans le ventre vont les aliments et les boissons; du ventre partent des fibres étendues jusqu'à la vessie, qui filtre le liquide.

9. (*Des fluxions et de leur mécanisme.*) Les fluxions sur-

avec la signification que nous leur attribuons, mais accumulation de phlegme, c'est-à-dire de sucs, et, de là, turgescence, et même embonpoint. Aux mots *phlegme*, *phlegmasie*, *phlegmatique*, j'attribuerai constamment le sens que lui donne ici l'auteur hippocratique; il est impossible de faire autrement; j'en avertis ici le lecteur. – ψῦχος Kühn. – ψύχος vulg.

θερμαινομένης καὶ ὑποφλεγμαινούσης. Ῥόοι δὲ διὰ μὲν τὸ ψῦχος γίνονται, [1] ὁπόταν τόδε γίνηται, ὅταν ἡ σὰρξ [2] ἡ ἐν τῇ κεφαλῇ καὶ αἱ φλέβες τεταμέναι [3] ἔωσιν· αὗται, φριξάσης τῆς σαρκὸς καὶ ἐς μικρὸν ἀφικνουμένης καὶ [4] ἐκφλιψάσης, ἐκθλίβουσι τὴν ὑγρότητα, καὶ αἱ σάρκες ἅμα αὗται ἀντεκθλίβουσιν ἐς μικρὸν ἀφικνούμεναι, καὶ αἱ τρίχες ἄνω ὀρθαὶ γίνονται ὥστε πάντοθεν ἅμα ἰσχυρῶς πιεζόμεναι· ἐντεῦθεν ὅ τι ἂν [5] ἐκφλιβῇ, ῥεῖ ᾗ ἂν τύχῃ. Ῥεῖ δὲ καὶ διὰ τὴν θερμότητα, ὅταν αἱ σάρκες ἀραιαὶ γινόμεναι διόδους [6] ποιήσωσι, καὶ τὸ ὑγρὸν θερμανθὲν λεπτότερον γένηται· πᾶν γὰρ τὸ ὑγρὸν θερμαινόμενον λεπτότερον γίνεται, καὶ πᾶν [7] ἐς τὸ ὑπεῖκον ῥεῖ· μάλιστα δ' ὅταν λίην ὑπερφλεγμήνῃ, διὰ τόδε ῥεῖ· αἱ σάρκες [8] λίην ἔμπλεαι γινόμεναι ὅ τι ἂν μὴ δύνωνται χωρέειν, [9] ῥεῖ τὸ ὑγρὸν τὸ μὴ δυνάμενον χωρέεσθαι, ῥεῖ δὲ ᾗ ἂν τύχῃ· ἐπὴν δὲ ἅπαξ εὔροοι αἱ ῥοιαὶ γένωνται, ῥεῖ [10] ἐς τὸ χωρίον ᾗ ἂν τύχῃ, ἔστ' ἂν συμπιεχθῶσιν αἱ δίοδοι τοῦ ῥόου δι' [11] ἰσχνότητα ὅταν τὸ σῶμα ξηρανθῇ· ὥστε γὰρ τὸ σῶμα κοινωνέον [12] αὐτὸ ἑωυτῷ διαλαμβάνει καὶ [13] ἄγει, καθ' ὅ τι ἂν ὑγρὸν ἐπιτύχῃ, ἐς ἑωυτὸ τὸ ξηρόν· ἄγειν δὲ οὐ χαλεπὸν αὐτό ἐστιν, [14] ὥστε τοῦ σώματος κενοῦ τε καὶ οὐ συνοιδέοντος ὑπὸ ἰσχνότητος. Ὅταν δὲ τὰ κάτω ξηρὰ γένωνται, τὰ [15] δ' ἄνω ὑγρὰ (μᾶλλον δὲ τὰ ἄνω ὑγρά ἐστι τεύχεα, αἱ γὰρ φλέβες ἄνω πλεόνές εἰσιν ἢ κάτω, καὶ αἱ σάρκες [16] ἐλάττονος ὑγρότητος δεόμεναι αἱ ἐν τῇ κεφαλῇ), ἄγει δὴ τὸ ξηρὸν τοῦ σώματος τὸ ἐκ τῆς κεφαλῆς ὑγρόν· καὶ ἅμα καὶ [17] δίοδοί εἰσι τῷ ἄγοντι μᾶλλον, ἢ τῷ ἀγομένῳ· καὶ γὰρ αὗται κερδαίνουσιν ὥστε ξηραὶ ἐοῦσαι, καὶ ἅμα καὶ τὰ ὑγρὰ πέφυκε κάτω χωρέειν, καὶ ἢν [18] βραχέη τις ἀνάγκη γένηται.

[1] Post γίν. addunt ὁπόταν τόδε γένηται A, quædam exempl. ap. Foes in not. – ὁπ. τ. γ. om. vulg. — [2] ἢ C. — [3] ἐῶσιν (ubique) AC, Ald., Zwing. – αὗται γὰρ K', Lind., Mack. — [4] ἐκθλιψάσης A, Zwing., Lind., Mack. – γίνωνται C. – πάντωθεν C. — [5] ἐκθλιβῇ C, Lind., Mack. – ῥείη pro ῥεῖ ᾗ C. — [6] ποιῶσι E. — [7] ἐς A. – ἐς om. vulg. – ὑπερφλεγμαίνῃ Ald. – τόνδε Mack. — [8] αἳ ἦν μὲν pro λίην C. – γενόμ. A. – ὅτε pro ὅ τι Mack. – δύνονται A. — [9] ῥοῦ pro ῥεῖ C. – ἐπὴν.... τύχῃ om. C. – ῥοίαι (sic) vulg. – ῥοιαὶ E, Mack. – ῥοῖαι Zwing. – Ce mot ne se trouve dans les lexiques qu'avec le sens de *grenade*. — [10] ἐς τὸ L, Zwing. in marg. – καὶ τὸ vulg. – καὶ ἐς τὸ K', Lind., Mack. – ὁδοὶ A. — [11] Post ἰσχν. addit [τὴν γενομένην] Lind. – ὅταν δὲ τὸ K'. — [12] αὐτῷ A. — [13] ἀλγεῖ A. – ἑωυτῷ A. – τὸ ACE, Ald., Zwing. – τὸ om. vulg. — [14] ὥς γε pro ὥστε quædam exempl. ap. Foes in not. – ὥστε ἔτι τὸ (haud dubie τοῦ) σ. K'. — [15] δὲ Mack. – δ' om. C. — [16] ἐλάττονος AC, Lind.

viennent et quand la chair est refroidie en excès et quand elle est échauffée en excès et en état de sub-phlegmasie (*voy. p.* 290, *note* 15). Les fluxions provenant du froid (quand c'est le froid qui les produit) se font lorsque la chaïr qui est dans la tête et les veines sont tendues ; les veines, vu que la chair frissonnant se contracte et exerce une action d'expulsion, expriment le liquide, les chairs contractées exercent une expulsion en sens inverse, et les cheveux se hérissent étant pressés fortement de tout côté à la fois ; de là, tout ce qui est exprimé s'épanche là où le veut la chance. La fluxion par la chaleur se produit quand les chairs raréfiées ouvrent des voies et que le liquide échauffé est devenu plus ténu ; en effet, tout liquide échauffé perd de sa densité, et tout s'écoule dans ce qui cède ; c'est surtout quand il y a excès de phlegmasie, que la fluxion s'opère ; alors, les chairs étant trop remplies, ne peuvent pas contenir tout le liquide, et ce qui ne peut être contenu s'épanche là où le veut la chance ; une fois que les conduits sont devenus coulants, la fluxion se fait sur tel ou tel lieu jusqu'à ce que les voies de la fluxion se ferment par la détuméfaction, le corps se séchant. En effet, le corps, communiquant partout avec lui-même, saisit le liquide en quelque lieu que ce soit et l'attire vers la partie qui est sèche ; et la chose n'est pas difficile attendu que le corps est vide et détuméfié. Quand les parties inférieures sont sèches et les supérieures humides (les vaisseaux d'en haut sont plus humides, car les veines sont plus nombreuses en haut qu'en bas, et les chairs de la tête ont besoin d'une moindre humidité), quand donc les parties inférieures sont sèches, la partie sèche attire l'humidité de la tête ; en même temps les voies sont ouvertes plutôt à ce qui arrive qu'à ce qui s'en va, car elles gagnent à cela, étant sèches ; de plus les liquides vont naturellement en bas, même pour la moindre sollicitation.

-ἐλάσσονος Mack. -ἐλάττονες vulg. — [17] διόδοισι pro δ. εἰσιν A. — [18] βραχέη C. -βραχείη vulg.

10. Ῥόοι δὲ ἀπὸ τῆς κεφαλῆς ἑπτά· ὁ μὲν κατὰ τὰς ῥῖνας, ὁ δὲ κατὰ τὰ ὦτα, ὁ δὲ κατὰ τοὺς ὀφθαλμούς· οὗτοι οἱ [1]ῥόοι καταφανέες ἐκ τῆς κεφαλῆς τοῖσιν ὀφθαλμοῖσιν. Ἐπὴν [2]δ' ἐς τὸν κίθαρον ῥυῇ ὑπὸ ψύχους, χολὴ γίνεται, [3]μᾶλλον δὲ ῥεῖ ἐς τὸν κίθαρον ὑπὸ ψύχους διὰ τόδε, ὅτι εὔροον [4]γίνεται ἐς τὸν βρόγχον, ὥστε οὐδὲ ξυγκεκαλυμμένον· ὑπὸ δὲ τοῦ ψύχους καὶ κόπος ἔχει διὰ τοῦτο τοὺς ὑπὸ τῆς χολῆς ἐχομένους, ὅτι αἱ σάρκες, ὅταν [5]χειμίη ᾖ, οὐκ ἀτρεμίζουσιν, ἀλλὰ σείονται, καὶ σειόμεναι μοχθέουσι, καὶ κοπιῶσιν, ὥστε σειόμεναι [6]ὥσπερ ἐν τῇσιν ὁδοιπορίῃσιν· καὶ ἔμπυοι γίνονται, ὅταν ἐς τὸν κίθαρον ῥέῃ, καὶ φθισιῶντες. Ὅταν δ' ἐς τὸν μύελον ῥόος γένηται, φθίσις [7]ἀλαΐα γίνεται. Ὅταν [8]δ' ὄπισθεν ἐς τοὺς σπονδύλους, καὶ ἐς τὰς σάρκας ῥυῇ, ὕδρωψ γίνεται, καὶ τῷδ' ἐστὶ [9]γιγνώσκειν, ξηρὰ τὰ ἔμπροσθεν, ἡ κεφαλὴ καὶ αἱ ῥῖνες καὶ οἱ ὀφθαλμοί· καὶ τοῖσιν ὀφθαλμοῖσι γίνεται [10]ἀμβλυώσσειν, καὶ χλωροὶ γίνονται καὶ τὸ ἄλλο σῶμα, καὶ οὐκ [11]ἀποπτύει οὐδὲν, οὐδ' ἢν πουλὺ ῥέῃ· ὅδε γὰρ ὁ ῥόος, διὰ τῆς σαρκὸς μέσης ῥέων, τῆς ὄπισθεν καὶ τῆς ἔμπροσθεν ἀπεστραμμένος, ξηρὰ [12]τὰ ἔμπροσθεν ποιέει, τὴν δ' ὄπισθεν ἄρδει σάρκα, καὶ τὴν ἐντὸς μᾶλλον πρὸς τὴν κοιλίην, [13]ἢ ἐκτὸς πρὸς τὴν ῥινόν· διὰ τοῦτο δὲ ἐκτὸς μᾶλλον ἢ ἐντὸς στερεώτερον τὸ σῶμα, καὶ στενωτέρας διατρήσιας ἔχει· ὥστε [14]δὲ λεπταὶ ἐοῦσαι [15]ξυμπιλέονται, καὶ ἀκέουσιν αὗται σφίσιν ἑωυταῖς, καὶ ῥόος οὐ δύναται ταύτῃ ἰέναι οὐδείς· [16]αἱ δ' εὐρύτεραί τέ εἰσιν αἱ ἐντὸς καὶ λεπτότερα τὰ μεταξὺ ἔχουσαι.

[1] Ῥόες καταφρενέες (sic) A. - οὗτοι [δὲ] οἱ ῥ. Lind. — [2] δὲ C. — [3] μάλιστα A. — [4] γίγνεται C. - ὡς δὴ pro ὥστε Lind. - οὐ, al. manu οὐδὲ A. - ξυνκε. A. - ξυγκεκαλυμένον C. — [5] χειμίη ᾖ, al. manu εὐχυμίη A. - εὐχυμίη ᾖ vulg. - χολὴ ᾖ Mack. - ἔχῃ μῆνι C. - ἔχει μὴν ᾖ Vaticani Codd. ap. Foes in not. - Il faut lire χειμίη, expliqué dans le Gloss. de Gal. par ψῦχος, ῥῖγος. — [6] ὥσπερ om. C. - ῥέει E. - δὲ Mack. - δ' om. C. — [7] ἀλαΐα Mack. - ἄλλη vulg. - Gal. Gloss.: ἀλαΐα, φθίσις οὕτως ὠνόμασται ἐν τῷ Περὶ τόπων τῶν κατὰ ἄνθρωπον, ἢ οἷον τυφλὴ καὶ ἀόρατος. - ἀλαΐα est la véritable leçon. Voy. Rosenbaum, Allgemeine medic. Zeitung, 1837, n° 124. — [8] δὲ AC. — [9] γινώσκειν AC. - ἣν (ἣν om. CE, Ald., Zwing.) ξηρὰ τὰ ἔμπροσθεν ᾖ, ἡ vulg. - ξηρὰ τὰ ἔμπροσθεν, ἡ A. — [10] ἀμβλύωσιν, alia manu ἀμβλύωσσις A. - C'est l'explication donnée par M. Sichel (*Mémoire sur le glaucôme*, p. 136), qui rend χλωροὶ par *pâles*. — [11] ἀποπτύειν A. - πουλὺ E. - πολὺ vulg. — [12] τὰ [μὲν] ἔμπ. Lind., Mack. — [13] ἢ om. C. - ῥινὸν A. - ῥῖνα vulg. - ῥάχιν Zwing. in marg., Lind., Mack. - στενοωτέρας (sic) C. - διατρήσηας C. — [14] δὴ K'. — [15] ξ. A. - σ. vulg. - συμπλέονται Ald. - σφῆσιν C. — [16] αἱ δ' Kühn. - αἶδ' vulg.

10. (*Sept fluxions venant de la tête : aux narines, aux oreilles, aux yeux, à la poitrine, à la moëlle épinière, aux vertèbres, et aux hanches.*) Sept fluxions viennent de la tête : la première aux narines, la seconde aux oreilles, la troisième aux yeux ; ces fluxions coulent visiblement de la tête. La quatrième fluxion se fait sur la poitrine par l'effet du froid ; alors c'est de la bile ; ce qui fait que le froid porte de préférence la fluxion sur la poitrine, c'est que l'écoulement est facile dans le conduit bronchique, qui n'est pas même abrité. Le froid est cause encore que les personnes ainsi en proie à la bile éprouvent de la fatigue ; en effet les chairs, quand le temps est rigoureux, ne sont pas en repos, mais elles sont ébranlées ; cet ébranlement les fait souffrir, les fatigue, de la même façon que les fatigue l'ébranlement dans une marche. La fluxion sur la poitrine produit des empyèmes et des phthisies. La cinquième fluxion se fait sur la moëlle épinière ; c'est alors une phthisie cachée (*Comp. phthisie dorsale dans le livre* des Affections internes). La sixième fluxion se fait en arrière sur les vertèbres et les chairs ; alors se produit une hydropisie ; cet état se connaît ainsi : les parties antérieures sont sèches, tête, narines et yeux ; les yeux sont affectés d'amblyopie (*amblyopie chlorotique*) (*voy. note* 10) ; ils deviennent pâles ainsi que le reste du corps ; il n'y a aucune expectoration, même quand la fluxion est considérable ; car cette fluxion, coulant par le milieu de la chair, et éloignée à la fois et de la chair postérieure et de la chair antérieure, laisse sec le devant, et humecte la chair en arrière et plus celle qui est en dedans vers le ventre que celle qui est en dehors vers la peau. Aussi le corps est-il plus dense en dehors qu'en dedans et percé de pertuis plus étroits (Épid. II, 3, 16 ; Épid. VI, 3, 11 ; Aph. V, 69) ; ces pertuis, étant ténus, s'obstruent, l'étroitesse naturelle y sert de remède, et aucune fluxion ne peut passer par là ; mais les pertuis intérieurs sont plus larges, et les intervalles qui les séparent sont plus minces. De la sorte, la fluxion venant de plus haut et ne rencontrant

Ὁ δὲ ῥόος, ὥστε ἀφ' ὑψηλοτέρων, καὶ λεπτὰ τὰ ἀντικωλύοντα ἔχων, ῥεῖ καὶ πίμπλησιν ὑγρότητος τὰς σάρκας· καὶ ἀπὸ τῶν [1]σιτίων ἐς τὸ αὐτὸ χωρέουσα ἡ ὑγρότης διέφθαρται· διεφθαρμένη δ' αὐτὴ ὑπὸ τῆς συμμίξιος, καὶ τὸ ῥέον σὺν αὐτῇ ἀπὸ τῆς κεφαλῆς, [2]τρέφει τὸ σῶμα· λίην δὲ πολλῷ ὑγρῷ αἱ σάρκες τρεφόμεναι καὶ νοσηλῷ θάλλουσαί τε λίην [3]ὕδρωπος ἔμπλεαί εἰσιν. Ἢν δ' ὀλίγον ῥεύσῃ, ἰσχιάδα καὶ κέδματα ἐποίησεν, ἐπὴν ῥέον παύσηται· ὥστε γὰρ ὀλίγον ἐῤῥυηκὸς, καὶ πάντοθεν ὠθεύμενον, [4]καὶ ὑπὸ παντὸς κρέσσονος ἐόντος [5]ὥστε ὀλίγον ἐὸν, καὶ οὐκ ἔχον ἐπιῤῥοὴν [καὶ] ὥστε πάντοθεν ὠθεύμενον, ἐς τὰ ἄρθρα ἀποφυγὴν ποιέεται. Γίνεται δὲ κέδματα καὶ ἰσχιάδες καὶ ἀπὸ τοιούτων νοσημάτων ὑγιῶν [6]γιγνομένων· ὅταν τὸ μὲν νόσημα [7]ποιέον ὑγιὲς γένηται, καταλειφθῇ δέ τι ἐν τῇ σαρκὶ καὶ μὴ ᾖ αὐτῷ ἡ ἔξοδος, μήτ' αὖ ἔσω μήτε [8]ἐς τὸ δέρμα φῦμα ποιήσῃ ἐξιὸν, φεύγει ἐς τὸ ὑπεῖκον, ἐς τὰ ἄρθρα, καὶ ἢ κέδματα ἢ ἰσχιάδα ἐποίησεν.

11. Ἢν δὲ συνοιδήσωσιν αἱ ῥῖνες, καὶ φλέγματος ἔμπλεαι ἔωσιν [9]συμπεπηγότος, τοῦτο χρὴ τὸ φλέγμα τὸ συμπεπηγὸς λεπτύνειν ἢ πυρίῃσιν, ἢ φαρμάκῳ, καὶ μὴ ἀποτρέπειν· ἢν γὰρ ἀποτρεφθὲν [10]ἄλλῃ πῃ ῥεύσῃ, πάντῃ τὸ ῥέον μέζονα νόσον ποιέοι.

12. Ὁπόταν δ' ἐς τὰ ὦτα ῥέῃ, [11]τὸ πρῶτον ὀδύνην παρέχει, βίῃ γὰρ χωρέει· πόνον δὲ παρέχει, ἔστ' ἂν [12]ἀποσυριγγωθῇ· ἐπὴν δὲ μάθῃ ῥεῖν, οὐκέτι πόνον ποιέει. [13]Τῷ ὑπὸ τῆς ὀδύνης ἐχομένῳ φάρμακον θερμὸν φύσει χλιαρὸν ποιήσαντα, διέντα [14]νετιώπῳ, ἐγχεῖν, καὶ ὄπισθεν σικύην προσβάλλειν, ἢν τὸ ἀριστερὸν ἀλγέῃ, ἐς τὸ δεξιὸν, [15]καὶ

[1] Σίτων (alia manu σιτίων) ὡς τὸ A. – χωροῦσα A. – συμμίξεως C. — [2] τρέφει A. – τρέφουσι vulg. – τὰ σώματα alia manu A. – νωσηλῶ A. – τε λίην A. – τε λίην om. vulg. — [3] Ante ὕδρ. addit καὶ al. manu A. — [4] καὶ A. – καὶ om. vulg. – ὑπὸ π. κ. ἐόντος om. C. — [5] ὥστε ὀλίγον ἐὸν καὶ οὐκ ἔχον ἐπιρροὴν καὶ ὥστε πάντοθεν ὠθεύμενον A. – ὥστε.... ὠθεύμενον om. vulg. – Dans cette addition, qui me paraît bonne, je supprime un καὶ que j'ai mis entre parenthèses. — [6] γιν. A. — [7] τὸ ποιέον vulg. – τὸ om., restit. al. manu A. – ὑγιέες A. – καταλειφθῇ C. – καταληφθῇ vulg. – ἡ om. C. — [8] μήτε ἔξω, ἀλλ' ἐς vulg. – ἔξω, ἀλλ' om., restit. al. manu A. – ποιήσει C. — [9] συμπ. τούτου, χρὴ vulg. – συμπ., τοῦτο χρὴ A. — [10] ἄλλῃ πορεύσει (πορεύσηται Mack) vulg. – λάβῃ πηρεύσει C. – ἄλλῃ πῃ ῥεύσῃ A. – πάντῃ CE, Ald., Mack. – παντὶ vulg. – ῥέον A. – ῥέεθρον vulg. – μέζονα A. – μείζονα vulg. – μεῖζον ἂν ὅσον C. – νοῦσον Lind. – ποιέει E. – ποιέῃ C. — [11] τὸ πρῶτον γὰρ βίῃ χωρέει pro τὸ.... χωρέει (A, emend. al. manu) C. — [12] ἀποπαρρητωθῇ (sic) C. – Érot. Gloss. : ἀπεσυριγγώθη, ἀπεφυσήθη, καθάπερ αἱ πνευματούμεναι σύριγγες. Cette

que de minces obstacles, s'épanche et remplit d'humidité les chairs; l'humidité fournie par les aliments arrive au même lieu et se corrompt. Dès lors le corps n'est plus nourri que par cette humidité, que le mélange a corrompue, et par la fluxion qui coule avec elle de la tête; les chairs, nourries par une humidité abondante et morbide et étant dans l'exubérance, se remplissent d'hydropisie. La septième fluxion coulant peu à la fois produit, quand elle s'arrête, le mal de hanche et les engorgements; elle est en quantité petite et pressée de toute part, en quantité petite et pour cela trouvant tout plus fort qu'elle, pressée de toute part et pour cela n'ayant point d'écoulement; donc elle cherche un refuge dans les articulations. Il survient encore des engorgements et des maux de hanche à la suite de maladies pareilles qui arrivent à guérison : quand ce qui cause la maladie guérit, s'il reste dans la chair quelque chose qui n'ait pas d'issue, et que ce reliquat ne sorte en tumeur ni au dedans ni à la peau, cela se porte aux endroits qui cèdent, c'est-à-dire aux articulations, et produit les engorgements ou le mal de hanche.

11. (*Première fluxion : sur les narines.*) Quand les narines sont gonflées et remplies de phlegme coagulé, il faut dissoudre ce phlegme coagulé soit par des étuves, soit par un évacuant, mais ne pas détourner; si en effet le flux se porte ailleurs, où que ce soit, il y causera une maladie plus grande.

12. (*Deuxième fluxion : sur les oreilles. Règle générale : prendre conseil* a juvantibus.) Le flux se faisant sur les oreilles, d'abord il y a douleur, à cause de la violence avec laquelle il marche; et la douleur persiste jusqu'à ce qu'il y ait fistule; elle cesse une fois que l'habitude de l'écoulement est prise. Pendant la douleur, on aura un médicament de nature échauffante, on le fera tiédir, on le délaiera avec de l'huile

glose d'Érot. s'applique assez mal à notre passage. – μάθοι A. — [13] τῷ [δ'] Lind., Mack. – θερμαῖνον A. — [14] μετώπῳ vulg. – μετωπίω Foes in notis, Lind., Mack. – νετώπω C. – Voy. Érot. au mot νίωπον, p. 260. – προσβάλλειν A. – ἐμβάλλειν vulg. – ἐμβάλειν (sic) C. — [15] κ. ἦν τὸ δ. om. A.

ἢν τὸ δεξιὸν, ἐς τὸ σκαιόν· μὴ καταχρούειν δὲ, [1]ἀλλ' ὡς ἂν ἕλκῃ μοῦνον· ἢν δὲ μὴ πρὸς ταῦτα παύηται, ψύχοντα ἐγχεῖν φύσει ψυχρὰ, καὶ φάρμακον πίσαι ὅ τι ἂν κάτω ὑποχώρησιν [2]ποιέῃ, ἄνω δὲ μὴ, ὥσπερ οὐδ' ἀρήγει ἐμέειν, καὶ τὰ ἄλλα ψύχειν. Καὶ αἰεὶ δὲ ἐκ τοῦ ὑγιὲς μὴ ποιέοντος τρόπου [3]μεταλλάσσειν· καὶ ἢν μὲν κάκιον ποιέῃ, [4]ἔχον ἐς τὸ ὑπεναντίον· ἢν δὲ ῥέπῃ ἐς τὸ ὑγιὲς, τὸ πάμπαν μὴ ἀφελεῖν τι τῶν προσφερομένων, μηδ' [5]ἀποζευγῆσαι, μηδὲ προσθεῖναι ἄλλο τι. Ἢν δὲ σεσυριγγωμένον ἤδη ᾖ, καὶ πεπυωμένος ῥέῃ ἰχὼρ πουλὺς καὶ κακὸν ὀζόμενος, [6]τοῦτο ὧδε ποιέειν· σπογγιὰν δεύων ξηραίνοντί τινι φαρμάκῳ [ξηρῷ] πρὸς τὴν ἀκοὴν [7]ὡς πελαστάτω προσθεῖναι, καὶ πρὸς τὰς ῥῖνας καθαρτήριον, ὅπως, τοῦ [8]ἐς τὰ ὦτα ῥέοντος, πρόσθεν ἐς τὰς ῥῖνας [9]φέρηται, καὶ μὴ ἐς τὴν κεφαλὴν πάλιν ἀποχωρέῃ, νοσηλὸν ἐόν.

13. Ὅταν δ' ἐς ὀφθαλμοὺς ῥεῦμα [10]ἴῃ, φλεγμαίνουσιν οἱ ὀφθαλμοὶ καὶ οἰδέουσιν· τοῦτον χρὴ [11]φαρμάκῳ ἢ τῷ ὑγρῷ ἢ τῷ ξηρῷ ἐν παστῷ ἰᾶσθαι· ἢν [12]δ' εὐθέως φλεγμήνωσι, μὴ ἔγχριε μηδὲν, [13]ἀλλ' ἢ κλύσαι κάτω τῷ ἰσχυροτάτῳ, ἢ ἄλλῳ τινὶ ἀπισχνῆναι ὑποχωρητικῷ φαρμάκῳ, φυλασσόμενος μὴ ἔμετον ποίησῃς· ἢν δὲ οἷον λίθοι ὑποτρέχωσιν, φάρμακον ἐγχρίειν ὅ τι πλεῖστον [14]ἄγειν δάκρυον μέλλει, [15]καὶ τὸ ἄλλο σῶμα ὑγραίνοντα καὶ φλεγμαίνειν ποιέοντα, ὡς ὑγρότεροι οἱ ὀφθαλμοὶ γένωνται καὶ ἐκκεκλυσμένοι, ὡς τὸ δάκρυον συμπεπηγὸς ὑποτρέχειν [16]ποιέῃς. Ὅταν δ' ἐς τοὺς ὀφθαλμοὺς κατὰ σμι-

[1] Ἄλλως C. – πεῖσαι A. — [2] ποιέει A. – ἐπείπερ pro ὥσπερ K'. – τἆλλα A. – αἰεὶ AE, Mack. – ἀεὶ vulg. — [3] μεταλάσσει, al. manu μὴ μεταλάσσειν A. – ποιέει A. — [4] ἔργον K'. – ἐλθεῖν vel ἔχειν L. – ἔχειν Lind. – ῥέπει A. — [5] ἀποζευγεῖσαι A. – τι om. A. – σεσυριγγωμένον AL, Lind., Mack. – ἐσυριγγωμένον vulg. – πεπυωμένον Lind., Mack. – πεπυρωμένος A. – ῥέει ἰχὼρ πολὺς A. – ῥείῃ C. — [6] τοῦτο [δὲ] ὧδε Lind. – τούτω C. – σπόγγια AC, Ald. – σπογγίαν E. – τινι om. C. – ξηρῷ me paraît tout à fait inintelligible ; en conséquence je l'ai mis entre crochets et ne l'ai pas traduit. — [7] ὥστε A. — [8] πρὸς A. — [9] ἀποτρέπηται A. – ἀποχωρέει A. — [10] εἴῃ A. — [11] Ante φ. addit τῷ A. – τὸ ξηρὸν A. — [12] δὲ C. – αὐτέως vulg. – αὐτίκα L. – ἀρτίως Lind. – εὐθέως ACK', Ald., Mack. — [13] ἀλλ' ἢ καῦσαι κατωτάτω ἰσχυροτάτῳ vulg. – ἀλλ' ἢ καῦσαι κάτω τὸ (sic) ἰσχυρωτάτω, mut. al. manu in ἀλλ' ἢ καυστικωτάτω ἰσχυρωτάτω A. – ἀλλ' ἢ κλύσαι κάτω παστῷ ἰσχυροτάτῳ Mack ex Askew. – Le changement de καῦσαι en κλύσαι n'est pour ainsi dire pas une correction. — [14] δάκρυον ἄγειν A. — [15] καὶ τὸ σῶμα τὸ ἄλλο A. – ἐκκεκλεισμένοι A. — [16] ποιέει A. – δὲ C. – Gal. Gloss. : κνιπότητα, κνησμόν· ἔνιοι δὲ τὴν ξηροφθαλμίαν ἤκουσαν. – παρέχει A.

d'amandes amères, et on l'injectera dans l'oreille; en arrière on appliquera une ventouse, à droite si l'oreille gauche est douloureuse, à gauche, si c'est l'oreille droite; on ne scarifiera pas, mais on se contentera de l'attraction de la ventouse. Si la douleur ne se calme pas, on aura recours aux réfrigérants, on injectera des substances de nature froide, et on administrera un médicament qui procure des évacuations par le bas et non par le haut; car il ne convient pas de vomir; et du reste on rafraîchira. En général, abandonnez toute méthode qui ne mène pas à guérison; si même le mal empire, passez à une méthode contraire; si au contraire il y a tendance vers le mieux, ne retranchez absolument rien de ce que vous administrez; ne vous relâchez en rien, et, non plus, n'ajoutez rien. La fistule une fois établie, et un ichor purulent et fétide s'écoulant en abondance, on agira ainsi : imbibant une éponge de quelque médicament siccatif, on l'appliquera aussi près que possible de l'ouie, et on introduira dans les narines un errhin, afin que le flux qui se fait sur les oreilles se porte en avant aux narines, et, avec ses qualités morbides, ne rétrocède pas dans la tête.

13. (*Troisième fluxion : sur les yeux. Énumération de diverses lésions de ces organes.*) Quand la fluxion va sur les yeux, ces organes se phlegmasient et se gonflent (*voy. p.* 290, *n.* 15); on emploiera un médicament, soit humide soit sec en poudre; si tout d'abord les yeux sont phlegmasiés, ne faites aucune application, mais évacuez par le bas à l'aide d'un lavement aussi actif que possible, ou atténuez le patient par tout autre purgatif, vous gardant de provoquer le vomissement; s'il se trouve dans l'œil comme des pierres, on oindra l'organe avec le médicament qui provoquera le plus de larmes; en même temps on tiendra le reste du corps en humidité et en phlegme, afin que les yeux s'humectent et se nettoyent, si bien que vous ferez s'en aller la larme coagulée. Quand la fluxion ne s'opère que peu à peu dans les yeux et y cause de la démangeaison, on y fera une onction émolliente, qui en même temps sera sicca-

χρὸν ῥέῃ, καὶ κνιπότητα παρέχῃ, τοῦτον ἐγχρίειν μαλθακώδει, ὅ τι [1] μέλλει ξηραίνειν ἅμα καὶ δάκρυον ὀλίγον ἄγειν, καὶ πρὸς τὰς ῥῖνας φάρμακον [2] προσφέρειν ἢ ἑκάστης ἡμέρης, ἢ διὰ τρίτης, γνώμῃ τῇ αὐτῇ χρώμενος· τοιόνδε ἔστω τὸ φάρμακον, ὅ τι μὴ πλεῖον ἢ ἐμβάφιον ἀπάγειν μέλλει κατὰ τὰς ῥῖνας, ἀπάγειν δὲ κατὰ σμικρὸν, τὸ δὲ κατὰ τοὺς ὀφθαλμοὺς ἀποξηραίνειν, ὡς ὅ τι ἂν [3] τὸ τῶν ὀφθαλμῶν φάρμακον ἀποξηρήνῃ [4] καὶ ἀποφράξῃ, [5] κατὰ τὰς ῥῖνας ἀποτράπηται. Τὰ δὲ φάρμακα τὰ τῆς κεφαλῆς καθαρτήρια, ἃ μὲν αὐτῶν ἰσχυρά ἐστιν, ἀπὸ τῆς κεφαλῆς ἄγουσιν ὅλης· ἅσσα δὲ ἀσθενέα, ἀπὸ τῶν ὀφθαλμῶν, καὶ αὐτόθεν ἀπὸ τῶν πέλας τῆς ῥινός. Ἢν δ' ἀπὸ [6] τῆς σαρκὸς καὶ τοῦ ὀστέου, μύξης ὑποστάσης μεταξὺ τοῦ ὀστέου καὶ τῆς σαρκὸς, ῥεῦμα ἐς τοὺς ὀφθαλμοὺς [7] γένηται, τῷδε δῆλόν ἐστιν, ὅτι ἐντεῦθεν ῥεῖ· [8] τὸ δέρμα τὸ ἐπὶ τῇ κεφαλῇ [9] φλιβόμενον ὑπείκει, καὶ [10] ἕλκεα ἐς τὴν κεφαλὴν ἐκθύουσι, καὶ κατὰ τοὺς ὀφθαλμοὺς δακρύουσι, καὶ οὐχ ἑλκοῦνται τὰ βλέφαρα, οὐδὲ [11] δάκνει, οὐδ' ἀμβλυώσσειν ποιέει, ἀλλ' ὀξὺ ὁρῶν γίνεται· τὸ γὰρ ῥεῦμα οὐχ ἁλμυρόν ἐστιν ὡς οὐκ ἀπὸ τοῦ ἐγκεφάλου, ἀλλὰ μυξῶδες μᾶλλον. Τοῦτον ὧδε χρὴ ἰᾶσθαι· φαρμάκῳ καθαίρειν χρὴ τὴν κεφαλὴν μὴ ἰσχυρῷ, καὶ τὸ σῶμα ἰσχναίνειν καὶ σιτίοισι καὶ φαρμάκοισι κάτω ὑπάγοντα, [12] ὡς ἀποξηρανθῇ ἰσχναινομένου τοῦ σώματος, ἢ ἐκτρεφθῇ [13] τῷ κατὰ τὰς ῥῖνας προστιθεμένῳ φαρμάκῳ· πρὸς δὲ τοὺς ὀφθαλμοὺς οὐδὲν δεῖ φάρμακον προσφέρειν. Ἢν δὲ [14] δὴ μηδ' οὕτως ὑγιὴς γίνηται, τὴν κεφαλὴν κατατάμνειν ἔστ' ἂν πρὸς τὸ ὀστέον ἴῃς, [15] μὴ μετεώρους μηδ' ἐπικαρσίους τὰς τομὰς ποιέειν· τάμνειν δὲ ἄχρι τούτου, [16] ἄχρις ἂν τοῦ ὀστέου θίγῃς· τάμνειν δὲ πυκνὰ, ὡς ἂν τὸ συνεστηκὸς ἐξέλθῃ θᾶσσον διὰ τῶν ἑλκέων ἀποῤῥέον, ἅμα [17] δὲ αἱ τομαὶ πυκναὶ ἐοῦσαι πρόστασιν ποιέωσ

[1] Ξηρ. μέλλει A. – ἅμα om. A. — [2] προσφέρειν.... ἔστω τὸ om. C. – γνώμη τῇ αὐτῇ A. – τῷ αὐτῷ sine γν. vulg. – τοῖόν τε vulg. – τοιόνδε AE, Ald. – τοῖόδ' Mack. — [3] τὸ om. A. — [4] ἢ καὶ A. — [5] καὶ κατὰ vulg. – καὶ om. A. – ἀποτραπῆται A. — [6] τῆς om. Lind. — [7] γένηται A. – ἐγγένηται vulg. – τόδε A. — [8] τὸ [δὲ] ῥεῦμα Lind. – καὶ τὸ ῥεῦμα quædam exemplaria ap. Foes in notis. – ῥεῦμα vulg. – δέρμα AC. — [9] θλ. C. – καὶ ὑπείκει vulg. – καὶ om. A. — [10] ἕλκεται pro ἕλκεα A. – ἐκφύουσι L. — [11] δάκνῃ, al. manu δάκνειν A. – ὀξυορῶν al. manu ὀξύορον A. — [12] ἕως AK'. – ἰσχναινομένου AC, Lind. – ἰσχναινουμένου vulg. – ἀποτρεφθῇ Zwing. in marg., Lind., Mack. — [13] τὸ κ. τὰς ῥ. προστιθέμενον sine φαρμάκῳ A. – δὲ post ὀφθαλμοὺς A. — [14] δὴ A. – δὴ om. vulg. – ὑγιὴς A, Lind., Mack. – ὑγιὲς vulg. — [15] μὴ μετ. om. C. – μὴ [δὲ] μετ. Lind

tive et provoquera quelques larmes, et on introduira dans les narines, tous les jours ou tous les deux jours, un médicament remplissant la même indication; ce médicament sera tel que le patient n'en introduira dans les narines qu'un oxybaphe (0litr., 068); et il ne l'introduira que peu à peu; quant au médicament appliqué sur les yeux, il sera siccatif, afin que ce qu'il desséchera et obstruera soit détourné vers les narines. Des médicaments qui purgent la tête, ceux qui sont actifs exercent l'attraction sur la tète entière; ceux qui sont faibles, l'exercent sur les yeux et puis sur les environs du nez. Si, de la mucosité s'étant déposée entre l'os et la chair, une fluxion provenant de la chair et de l'os se fait sur les yeux, on reconnaîtra la source de cette fluxion à ceci : la peau qui est à la tête cède sous la pression, des ulcères font éruption à la tête, les yeux deviennent larmoyants sans que les paupières s'ulcèrent, sans qu'il y ait mordication, sans que l'amblyopie se manifeste; loin de là le patient a la vue perçante; car la fluxion n'est pas salée, vu qu'elle ne provient pas de l'encéphale, et elle est plutôt muqueuse. On traitera le patient ainsi : on purgera la tête avec un médicament qui ne sera pas actif, on atténuera le corps en donnant des aliments et des médicaments qui provoquent des selles, afin que l'atténuation du corps ait pour effet de sécher la fluxion ou que cette fluxion soit détournée par le médicament appliqué aux narines; mais on ne mettra rien aux yeux. Si le mal résiste même à ces moyens, on incisera la tête jusqu'à ce qu'on arrive à l'os; les incisions ne seront ni superficielles ni transversales, et vous devrez aller jusqu'à ce que vous touchiez l'os; elles seront nombreuses afin que l'humeur accumulée s'échappe plus promptement par les plaies et qu'en même temps par leur nombre elles facilitent l'adhésion de la chair à l'os. C'est ainsi

-ποιέειν om. A. -Post τούτου addit τοῦ A. — [16] ἄχρι A. — [17] δ' C. -αἱ om. A. -τῇσι σαρξὶ A. -πρόστασιν est fort obscur. J'ai suivi le sens indiqué par Foes dans son Œconomie. Mack propose par conjecture πρόσθιξιν.

τῇ σαρκὶ πρὸς τὸ ὀστέον. Οὕτως ἰᾶσθαι [1]δεῖ· τούτῳ τοιάδε ἡ ἀποτελεύτησις γίνεται, [2]ἢν μή τις εὐτρεπίσῃ· οὐκ ἐκκέκλυσται, ὥστ' [3]ἐκκλυσόμενον ὀξὺ ὁρᾷν ποιέειν, [4]αἰεὶ τῷ ἐφισταμένῳ μαρμαρυγώδης μᾶλλον γίνεται, καὶ τὸ ὀξὺ [5]ὁρῶν τοῦ ἀνθρώπου ἀποσβέννυται. Ἢν δ' ἐς τὴν ὄψιν [6]ἐς τὸ ὑγρὸν καθαρὸν αἱματῶδές τι ἐσέλθῃ ὑγρὸν, τούτῳ ἡ ὄψις ἔνδον [7]ἐμφαίνεται τοῦ ὀφθαλμοῦ οὐ στρογγύλον ἐὸν διὰ τόδε· [8]ἐν ᾧ ἂν τὸ αἱματῶδες ἐνῇ, τοῦτο οὐκ ἐμφαίνεται, [9]τούτῳ δὴ ἐλλείπει τὸ φαινόμενον περιφερὲς εἶναι, καὶ προκινέεσθαι [10]αὐτῷ δοκέει πρὸ τῶν ὀφθαλμῶν, καὶ οὐδὲν κατ' ἀλήθειαν ὁρᾷ. Τούτου χρὴ τὰς φλέβας ἀποκαίειν τὰς πιεζούσας τὰς [11]ὄψιας, αἳ σφύζουσιν αἰεὶ καὶ μεταξὺ τοῦ τε ὠτὸς καὶ τοῦ κροτάφου πεφύκασιν· καὶ ἐπειδὰν ταύτας ἀποφράξῃς, πρὸς τοὺς ὀφθαλμοὺς φάρμακα, ὅσα ὑγραίνει, [12]πρόσφερε, καὶ δάκρυον ἄπαγε ὡς πλεῖστον, ὅπως τὸ συνεστηκὸς ἐν τοῖσιν ὀφθαλμοῖσιν ἐκκλυσθῇ τὸ τὴν νοῦσον παρέχον. Ἢν [13]δὲ ὁ ὀφθαλμὸς ῥαγῇ, μαλθακοῖσι φαρμάκοισι χρῆσθαι καὶ [14]στρυφνοῖσιν, ὡς στυφόμενον τὸ ἕλκος ἐς σμικρὸν συνίῃ, καὶ ἡ οὐλὴ λεπτὴ ᾖ. [15]Ὅταν δ' ἄργεμον ᾖ, δακρύειν [16]τῷ ὀφθαλμῷ ἀρήγει.

14. Ὁπόταν δὲ ἐς τὸν [17]κίθαρον ῥέῃ καὶ χολὴ ᾖ, τῷδε δῆλόν ἐστιν· ὀδύνη ἔχει ἐς τὴν λαπάρην καὶ ἐς τὴν κληῖδα [18]τὴν [19]ἐς τὴν λαπάρην, καὶ πυρετὸς, καὶ ἡ γλῶσσα τὰ ἄνω χλωρὴ γίνεται, καὶ ἀποχρέμπτεται [20]ξυμπεπηγότα· ταύτης τῆς νούσου ἑβδομαίῳ ὁ κίνδυνός ἐστιν ἢ ἐνναταίῳ. [21]Ὁκόταν ἀμφότερα τὰ πλευρὰ ἀλγέῃ, τὰ δ' ἄλλα ὅμοια ᾖ τῇ ἑτέρῃ, αὕτη [22]μὲν περιπλευμονίη ἐστὶν, ἡ δ' ἑτέρη πλευρῖτις· αὗται δὲ γίνονται διὰ τόδε· ὅταν ἐς τὸν πλεύμονα ῥεύσῃ ἐκ τῆς κε-

[1] Δεῖ, εἰ vulg. – εἰ om. A. — [2] ἢν μή τις εὐτρεπίσῃ ἢ οὐκ A. – ἢν (addit δὲ K') μὴ ταῦτ' εὐτρεπῆ εἴη (addit καὶ K', Mack) οὐκ vulg. — [3] ἐκκλυσομένην vulg. – ὥστε κλυζομένην A. – ἐκκαυσόμενον C. – ἐκκεκλυσμένον K', Lind., Mack. — [4] ἀλλὰ pro αἰεὶ Zwing. in marg. — [5] ὁρᾷν K', Mack. – ἀποσβεννῦνται C. — [6] ἐς om. A. – τῷ καθαρῷ pro καθαρὸν A. — [7] ἐμβαίνεται vulg., par une faute répétée dans Kühn. – ὡστρογγύλον (sic), al. manu ὡς στρογγύλον A. — [8] ἐν.... εἶναι om. Lind. — [9] τούτου C. — [10] δ' αὐτῷ A. — [11] ὄψιας A. – ὄψεις vulg. – σφίζουσιν C. — [12] πρόφερε C. — [13] δὲ ὁ A. – δ' (δὲ C) sine ὁ vulg. — [14] στρυφνοῖς A. – στυφόμενοι vulg. – στυφόμενον ACE, Ald., Lind., Mack. – σμικρὸν A. – μικρὸν vulg. – συνήει A. — [15] ὅταν δ' ἄρ' ἐπηγέμον δακρύειν vulg. – ὅταν δ' ἄργεμον ἐπιδακρύειν A. – ὅταν δ' ἂρ ἐπιγέμων πύου δακρύειν E. – ὅταν δ' ἂρ ἐπῆγέμον δακρύειν C. – ὅταν δ' ἄρ' ἔτι γέμει δακρύειν L. – ὅταν ἄρ' ἐπιγέμῃ δακρύειν Zwing. – ὅταν δ' ἄργεμον ᾖ, δακρύειν Mack. – ὅταν δ' ἐπάργεμος ᾖ, δακρύειν Lind. – Érot. Gl., p. 66 : ἄργεμον, πάθος τι περὶ

qu'il faut traiter. La terminaison, si on ne s'y prend pas bien, devient telle : l'œil ne se nettoie pas comme il devrait se nettoyer pour conserver la vue perçante, le dépôt qui se fait le rend de plus en plus scintillant, et la vue perçante du patient est perdue. Si du sang liquide s'épanche dans le liquide pur de l'œil, la prunelle ne paraît plus ronde, vu que là où est le sang, il n'y a plus de brillant, et une lacune se montre dans la rondeur du cercle pupillaire; de plus le patient voit des objets se mouvoir devant lui, et sa vue n'a point de netteté. Dans ce cas il faut cautériser les veines qui pressent les yeux, ces veines battant toujours et situées entre l'oreille et la tempe; les ayant ainsi obstruées, appliquez aux yeux les remèdes humectants, et faites couler autant de larmes qu'il se pourra, afin que se nettoye ce qui, condensé dans les yeux, cause la maladie. Si l'œil se rompt, employez les médicaments émollients et resserrants, afin que la plaie resserrée soit peu étendue et la cicatrice légère. En cas d'albugo, il importe de faire pleurer l'œil.

14. (*Quatrième fluxion : sur la poitrine. Pleurésie; péripneumonie; empyème; phthisie.*) Si la fluxion se fait sur la poitrine et qu'il y ait bile, vous le connaîtrez ainsi : la douleur occupe le côté et la clavicule de ce côté, la fièvre survient, la langue est verdâtre à la partie supérieure, et le patient expectore des matières coagulées. Dans cette maladie le danger est au septième jour ou au neuvième. Quand les deux côtés sont douloureux, et que le reste est comme ci-dessus, il y a péripneumonie; dans le cas précédent, pleurésie. Voici l'origine de ces affections : quand de la tête il se fait une fluxion sur le poumon par le canal bronchique et les artères

τοὺς ὀφθαλμοὺς λευκωματῶδες, ὃ δὴ ἐκ τῆς παρεπομένης λευκότητος ὠνομάσθη. — [16] αὐτῷ pro τῷ ὀφθ. E. – δ' εἰς A. — [17] καθαρὸν, al. manu κήθαρον A. – κληῖδα Kühn. – κληΐδα vulg. — [18] πρὸς τὴν vulg. – πρὸς om. AC, Lind., Mack. — [19] πρὸς pro ἐς Lind. – χλορὴ A. — [20] σ. A. — [21] ἄλλη χολὴ in tit. AC, Zwing. in marg. – ὁπόταν ACE, Zwing. – ὁκόταν [δὲ] Lind. – τὰ δ' ἄλλα ὅμ. ἢ om. C. — [22] ἢ pro μὲν A. – περιπν. C. – πλευρῖτις Kühn. – πλευρίτις ubique vulg.

φαλῆς διὰ τοῦ βρόγχου καὶ τῶν [1] ἀρτηριῶν, ὁ πλεύμων, ἅτε ψαφαρὸς ἐὼν καὶ ξηρὸς φύσει, ἕλκει ἐφ' ἑωυτὸν τὸ ὑγρὸν ὅ τι ἂν δύνηται· καὶ ἐπὴν [2] εἰρύσῃ, μέζων γίνεται, καὶ ὅταν μὲν ἐς ὅλον ῥεύσῃ, μέζων ὁ λοβὸς γενόμενος ἀμφοτέρων ἔψαυσε τῶν πλευρέων, καὶ περιπλευμονίην ἐποίησεν· ὅταν δὲ τῆς ἑτέρης μοῦνον, [3] πλευρῖτιν. Ἡ περιπλευμονίη πολὺ ἐπικινδυνοτέρη ἐστὶ, καὶ ὀδύναι πολὺ ἰσχυρότεραί εἰσιν αἱ ἐς τὰς λαπάρας καὶ ἐς τὰς κληῖδας, καὶ ἡ γλῶσσα πολὺ ὠχροτέρη, καὶ τὴν φάρυγγα ἀλγέει ὑπὸ τοῦ ῥεύματος, καὶ κόπος ἔχει ἰσχυρὸς, καὶ πνεῦμα ἑκταῖον ἢ ἑβδομαῖον λάζεται. Τοῦτον ἢν μὴ ἑβδομαῖον ὁ πυρετὸς ἀφῇ, ἀποθνήσκει, [4] ἢ ἀποπυΐσκεται, ἢ ἀμφότερον· ἢν δ' ἐναταῖον δύο ἡμέρας διαλιπὼν λάζηται, ὡς τὰ πολλὰ καὶ οὗτος [5] ἢ ἀποθνήσκει, ἢ ἔμπυος διαφεύγει· ἢν δὲ [6] δωδεκαταῖον, ἔμπυος γίνεται· ἢν δὲ [7] τεσσαρεσκαιδεκαταῖον, ὑγιὴς γίνεται. Καὶ ἔμπυοι ὅσοι ὑπὸ περιπλευμονίης ἢ πλευρίτιδος γίνονται, [8] οὐκ ἀποθνήσκουσιν, ἀλλ' ὑγιέες γίνονται· ὡς τὰ πολλὰ ἔμπυοι γίνονται, ὅταν ῥεῦμα ἐς τὸ αὐτὸ ὥσπερ ἐπὶ τῇσι χολῇσι γένηται· ἀλλὰ τῇσι μὲν χολῇσι [9] πολὺ ἀποῤῥεῖ, καὶ ἀποῤῥεῦσαν παύεται· τοῖσι [10] δ' ἐμπύοισιν ἔλασσόν τε ῥεῖ καὶ οὐ παύεται, καὶ ἔμπυοι γίνονται, ὅταν [11] ἔλασσον ἀποχρέμπτωνται ἢ ἐπιῤῥεῖ ἐς τὸν [12] πλεύμονα. Τοῦτο γὰρ, τὸ ἐν τῷ πλεύμονι συνιστάμενόν τε καὶ ἐπιῤῥέον, πῦον γίνεται· τὸ δὲ πῦον συνιστάμενον ἐν τῷ πλεύμονι καὶ ἐν τῷ κιθάρῳ [13] ἑλκοῖ καὶ σήπει· καὶ ἐπὴν ἑλκωθῇ, ἀπὸ τοῦ ἡλκωμένου ἐπιῤῥεῖ καὶ [14] ἐπαναχρεμπτομένου· ἅμα μὲν ἡ κεφαλὴ μᾶλλον ῥεῖ σειομένη, ἅμα [15] δὲ ἐκ τοῦ ἡλκωμένου ἐν τῷ κιθάρῳ καὶ

[1] Ἀορτρῶν Zwing. in marg. – ἀορτάων vel ἀορτῶν L. – ἀορτέων K', Lind., Mack. – Voy. Gal. Gloss. au mot ἄορτρον, et Érot., p. 66, au mot ἀρτίων; d'après l'arrangement suivi par Érotien, ce mot (sans doute pour ἀορτέων) appartient au traité Des Lieux dans l'homme; nous le retrouverons plus loin. – πλεύμων A. – πν. vulg. — [2] εἰρύσῃ C. – εἰρύσει A. – εἰσρύσῃ vulg. – μέζων (bis) A. – μείζων (bis) vulg. – πλευρῶν A. — [3] πλευρίτις (πλευρίτι sic C) ἢ. ἡ περιπν. (περιπλ. C, Mack) vulg. – πλευρίτην ἢ περιπλευμονίην A. – ἐπικινδυνωτέρη A. – κληῖδας Kühn. – κληΐδας vulg. — [4] καὶ (ἢ pro καὶ Mack) ἀποπνίγεται vulg. – Je pense qu'il faut lire ἢ ἀποπυΐσκεται. – ἐναταῖον A. – ἐνν. vulg. – διαλείπων λάζεται A. – λάξηται Mack. — [5] ἢ om. A. — [6] δωδεκαταῖο A. — [7] τέ δ καὶ ι ταῖος A. — [8] καὶ οὐκ C. — [9] πολλὺ A. – ῥεύσαντα pro ἀποῤῥεῦσαν A. — [10] δὲ C. – ἐμπύοις C. – ἐλασσοτέρει pro ἔλ. τε ῥεῖ A. — [11] ἐλάσσω A. — [12] πν. E. – τε συνιστάμενον καὶ C. – πύον (ubique) E. — [13] ἑλκεῖ (sic) C – ἕλκει, in marg. al. manu ἢ ἑλκοῖ A. – σήπη A. – εἰλκωμένου AC. – ἡλκομέ

(*ramifications des bronches*), le poumon, étant naturellement friable et sec, attire à lui tout l'humide qu'il peut; ayant ainsi attiré, il devient plus volumineux; si l'écoulement s'est fait sur le poumon tout entier, le lobe étant devenu plus volumineux touche les deux côtés et produit la péripneumonie, et, quand il ne touche qu'un côté, la pleurésie. La péripneumonie est beaucoup plus dangereuse, et les douleurs vers les côtés et vers les clavicules sont beaucoup plus intenses, la langue est beaucoup plus verdâtre, la gorge est douloureuse à cause de la fluxion, l'accablement est fort, et la dyspnée fait invasion le sixième jour ou le septième. Le patient, si la fièvre ne le quitte pas le septième jour, meurt ou devient empyématique, ou meurt d'empyème. Si la fièvre après une intermission de deux jours reprend le neuvième, généralement le patient meurt, ou, devenant empyématique, il réchappe; si le douzième, il devient empyématique; si le quatorzième, il guérit. De fait, ceux qui deviennent empyématiques à la suite de la péripneumonie ou de la pleurésie, ne succombent pas, ils réchappent. En général, l'empyème se produit quand la fluxion se fait sur le même point que dans les flux bilieux; mais dans les flux bilieux beaucoup de liquide est expulsé, et après cette expulsion le mal cesse, au lieu que dans les empyèmes le flux est moindre et ne cesse pas; et la collection se forme quand l'expectoration est moindre que l'afflux dans le poumon. En effet cette humeur qui afflue et se rassemble dans le poumon, devient pus; le pus rassemblé dans le poumon et dans la poitrine ulcère et corrompt; et quand il y a ulcération, la partie ulcérée et l'expectoration fournissent un flux; en même temps la tête ébranlée [par la toux] envoye une fluxion plus abondante, ainsi que la partie ulcérée dans le poumon et dans la poitrine, et les ulcérations mises en mouvement se déchirent, de telle sorte que, si le

νου Ald. — [14] ἀναχρεμπτομένου A. - ἠονημένη (sic) pro ῥεῖ σειομένη C. — [15] δ' Ald. - εἰλκομένου (sic) A. - ἑλκομένου C.

τῷ πλεύμονι μᾶλλον ῥεῖ, καὶ τὰ [1] ἕλκεα κινεύμενα ἐπαναῤῥήγνυται, ὥστε καὶ εἰ παύσαιτο [2] τὸ ἀπὸ τῆς κεφαλῆς ῥέον, [3] τὸ ἀπ' αὐτέων τῶν ἑλκέων ἱκανὸν ἔσται νοῦσον παρασχεῖν. Γίνεται δὲ καὶ ἀπὸ ἕλκους ἔμπυος, καὶ ῥάων αὕτη ἡ νοῦσος· γίνεται δὲ καὶ ἐκτὸς τοῦ πλεύμονος μάλιστα μὲν [4] ἀπὸ ῥήγματος, καὶ ὅταν ἡ σὰρξ φλασθῇ· κατὰ τοῦτο γὰρ πῦον [5] ξυνίσταται, καὶ [6] ξυνιστάμενον, εἴ τις σείοι τὸ σῶμα, κλυδάζεται, καὶ ψόφον παρέχει, καὶ καίονται ταῦτα. Φθίσις δὲ γίνεται, ὅταν ἐς τὸ αὐτὸ, ὥσπερ τῷ ἐμπύῳ, ὁ ῥόος γένηται διὰ τοῦ βρόγχου καὶ τῶν [7] ἀορτρέων, αἳ ξυνέχουσι τὸν πλεύμονα καὶ τὸν βρόγχον· ἐς δὲ τὸν πλεύμονα [8] ῥέει θαμινὰ κατ' ὀλίγον, καὶ ὑγρότητα ἐν τῷ πλεύμονι [9] οὐ ποιέει πολλήν· ξηραινόμενον γὰρ τὸ ἐπιῤῥέον ἐν τῷ βρόγχῳ πεπηγὸς, ὥστε οὐκ ἐκκλυζόμενον, ἀλλὰ κατ' ὀλίγον ἐπιῤῥέον καὶ [10] ἐνεχόμενον βῆχα ποιέει· ἔν τε [11] τῇσιν ἀορτρῇσιν ἐνεχόμενον τὸ ῥέον, ὥστε στενὰς διατρήσιας ἐχούσας τὰς [12] ἀορτρὰς, στενοχωρίην τῷ πνεύματι παρέχει, καὶ [13] τοῦτο ποιέει πνεῦμα ἔχειν· ὥστε γὰρ [14] αἰεὶ λειπόμενον [15] αἰεὶ ἐπιθυμέει ἀναπνεῖν, καὶ ἐν τῷ πλεύμονι, ὥστε οὐκ ἰσχυρῶς ὑγρῷ ἐόντι, ξυσμὸς ἐγγίνεται· [16] ὅταν δὲ πολὺ ἀποῤῥυῇ τῆς κεφαλῆς, οὔτ' ἐν τῷ πλεύμονι ξυσμὸς γίνεται· πολὺ γὰρ [17] αὐτέῳ τὸ ἐπιῤῥέον ἐστὶ, καὶ ἔμπυοι ἐκ τῶν φθισίων τούτων γίνονται, ὅταν ὑγρότερον τὸ [18] σῶμα γένηται· καὶ ὅταν ξηρότερον γένηται, ἐκ τῶν ἐμπύων φθισιῶντες. Ἔμπυοι [19] τῷδε δῆλοι γίνονται· τὴν λαπάρην ἀρχομένων πόνος ἔχει· ἐπὴν δὲ πῦον ξυνεστήκῃ, ὅ τε πόνος ὁμοίως [20] ἔχει, βήξ τε γίνεται, καὶ ἐπαναχρέμπτεται πῦον, καὶ πνεῦμα

[1] Ἕλκη AC. – ἔς τι κινέμενα (sic) ἐπαναρύγνυται A. — [2] τὸ om. A. – ᾗ ῥέον A. — [3] τὸ om. A. – αὐτῶν A. — [4] ἀπορήματα A. — [5] σ. A. — [6] ξ. A. – σ. vulg. – εἴ om. C. – σείῃ vulg. – γὰρ ἔχει pro παρέχει C. – καίνονται vulg. – καίονται C, Lind., Mack. – κέονται, al. manu αί A. — [7] ἀορτρέων (A, ρ obliteratur), Zwing. in marg. – ἀορτέων vulg. — [8] ῥέῃ A. — [9] οὐ K', quidam Codd. ap. Foes in notis, Lind., Mack. – μὴ vulg. – ποιεῖν C. — [10] ἐνισχόμενον Lind. – ἐπιχεόμενον C, Zwing. in marg. — [11] τοῖσιν A. – ἀορτρῇσιν A, Zwing. in marg. – ἀορτῇσιν vulg. – ἀορτῆρσιν quædam exemplaria apud Foes in notis. – Post στενὰς addit τὰς A. – διατρήσηας C. — [12] ἀορτρὰς A. – ἀορτὰς vulg. – La construction est embarrassée; il faut sans doute prendre τὰς ἀορτρὰς comme une espèce d'accusatif absolu. — [13] τοιοῦτο K', Zwing in marg., Mack. – ἔχει A. — [14] αἰεὶ λειβόμενον A. – ἀναλιπόμενον sine αἰεὶ (ἀναλειπόμενον C) vulg. — [15] αἰεὶ ἐπιθυμαίει A. – ἀεὶ vulg. — [16] ὅταν.... γίνεται om. A. – ἀποῤῥοῇ vulg. – ἀπορρῇ C. – ἀπορρυῇ L, Lind., Mack. – πνεύμονι C. — [17] αὐτῷ

flux venant de la tête s'arrêtait, celui qui vient des ulcérations suffirait à entretenir la maladie. On devient encore empyématique à la suite d'une plaie, et ce cas est moins fâcheux. Il se forme aussi en dehors du poumon, des empyèmes, surtout à la suite de ruptures (*voy.* Argument des Prénotions Coaques, § III, t. V, p. 579 *et le livre* des Vents, § 11) et de contusions de la chair; là en effet le pus se rassemble, et, une fois rassemblé, si on pratique la succussion, il se produit un flot et un bruit; c'est là qu'il faut pratiquer la cautérisation. La phthisie survient quand la fluxion s'opère dans le même lieu que pour l'empyème, par le conduit bronchique et les aortes (*ramifications des bronches*) qui unissent le poumon et le conduit bronchique; la fluxion s'opère dans le poumon fréquemment et peu à la fois, et n'amène pas en cet organe une humidité abondante; car le flux se dessèche et se coagule dans le conduit bronchique, attendu qu'aucun lavage ne l'emporte, mais, arrivant peu à peu et retenu, il provoque la toux. Le flux retenu dans les aortes, attendu que les pertuis de celles-ci sont étroits, rétrécit le passage de l'air de la respiration, ce qui produit de la dyspnée; car, étant toujours en déficit, le patient désire toujours de respirer; et dans le poumon, vu qu'il n'est pas extrêmement humide, il se produit une démangeaison irritante; mais quand le flux de la tête est abondant, il ne se produit pas dans le poumon de démangeaison irritante; car l'afflux est abondant; de ces phthisies il se forme des empyèmes quand le corps est humide; mais, quand il est sec, des empyèmes il se forme des phthisies. L'empyème se reconnaît à ceci : au début le côté est douloureux; quand le pus s'est rassemblé, la douleur continue de la même façon, la toux s'établit, l'expectoration est purulente,

C.-φθίσιων vulg.-φθίσηων C.—[18] νόσημα γενόμενον pro σῶμα γένηται A.—[19] Ante τῷδε addit δὲ Lind.-δὲ pro τῷδε C.-δῆλον A.-ἀρχομένω A.-ἐπεὶ C.-ἤδη addit ante ξυν. A.-ξυνεστήκει vulg.-ξυνεστήκοι C.-ξυνεστήκη A, Lind.—[20] ἔχει A, Mack.-ἔχῃ vulg.-ἔχει pro γίνεται A.-ἐρράγη L.-ψοφοῖ A.

ἔχει. Ἢν δὲ μήπω ἐῤῥώγῃ, ἐν τῇ λαπάρῃ σείεται καὶ ψοφέει οἷον ἐν ἀσκῷ· ἢν δὲ τούτων μηδὲν [1]προσημήνῃ, ἔμπυος δὲ ᾖ, τοισίδε χρὴ τεκμαίρεσθαι· πνεῦμα πουλὺ ἔχει, φθέγγεταί τε [2]ὑποβραγχότερον, καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ γούνατα, μᾶλλον δὲ [3]κατὰ τὴν λαπάρην, ἐν ᾗ τὸ πῦον ἔνεστι· καὶ ὁ κίθαρος συγκεκαμμένος ἐστὶ, καὶ λυσιγυῖα γίνεται, καὶ ἱδρὼς [4]περιχεῖται ὅλον τὸ σῶμα, καὶ τοτὲ μὲν δοκέει θερμὸς αὐτὸς ἑωυτῷ εἶναι, τοτὲ δὲ ψυχρός· καὶ οἱ ὄνυχες περιτεταμένοι εἰσὶ, καὶ ἡ κοιλίη θερμὴ γίνεται· τούτοισι χρὴ γινώσκειν τοὺς ἐμπύους.

15. Ὅταν δ' ὄπισθεν ῥεύσῃ ἐς τὴν ῥάχιν, φθίσις γίνεται τούτῳ [5]τοιάδε· τὴν ὀσφὺν ἀλγέει, καὶ τὰ ἔμπροσθεν τῆς κεφαλῆς κενὰ δοκέουσιν αὐτῷ εἶναι.

16. [6]Χολῇ δὲ τάδ' ἐστὶν ἐπικίνδυνα, ἴκτερος ἢν ἐπιγένηται, [7]ἐν τοῖσιν ὀφθαλμοῖσι καὶ ἐν τοῖσιν ὄνυξι πελιδνὰ ὅταν γένωνται, καὶ ἐς τὸ σῶμα [8]ὅταν ἔχῃ ἕλκεα καὶ τὰ περὶ τὰ ἕλκεα πελιδνὰ ᾖ, καὶ [9]ὁ ἱδρὼς ὁκόταν μὴ κατ' ὅλον τὸ σῶμα ἐκθύῃ, ἀλλὰ καθ' ἓν μέρος τοῦ σώματος, καὶ ὅταν τοῦ πυρετοῦ ἔτι ὄντος ἐπαναχρέμπτηται χλωρὸν, ἢ, [10]ἐόντος ἐντὸς ἐν τῷ πλεύμονι ἔτι τοῦ χλωροῦ, ἡ ἐπανάχρεμψις παύσηται· [11]τοῦτο δεῖ γινώσκειν ὅταν ἐνῇ καὶ ὅταν μὴ ἐνῇ· ὅταν ἐνῇ, [12]ἐμψοφεῖ ἐν τῇ φάρυγγι ἀναπνέοντος, καὶ πνεῦμα ἐπικίνδυνον, καὶ λὺγξ, καὶ ὁ πυρετὸς [13]ἔτι ὤν, ἀποχρέμματος ἔτι ἐν τῷ πλεύμονι ἐνεόντος, καὶ ἡ κοιλίη [14]ἀσθενέος ἤδη ἐόντος ὑποχωρέουσα· ταῦτα πλευρίτιδος καὶ περιπλευμονίης ἐπικίνδυνα.

17. [15]Πλευρῖτιν ὧδε χρὴ ἰᾶσθαι· τὸν πυρετὸν μὴ παύειν ἑπτὰ ἡμερέων, πότῳ δὲ χρήσθω ἢ ὀξυμελικρήτῳ, ἢ ὄξει καὶ ὕδατι· ταῦτα δὲ χρὴ προσφέρειν ὡς πλεῖστα, ὡς [16]ἐπίτεγξις γένηται καὶ γινομένη

[1] Προσείη vulg. – προσμείνῃ Ald. – προσῆ μείνη (sic) C. – προσημήνη A. – δέει pro δὲ ᾖ C. – πολὺ A. — [2] ὑπὸ βραχυτέρου C. – ὑποβραχότερον Ald. — [3] καὶ τὰ pro κατὰ A. – ἔνεστι A. – ἐστὶ vulg. – συγκεκαυμένος A. – συγγεκαμμένος C. — [4] περιέχει τε A. – τότε (bis) A. — [5] Post τοιάδε addit γίνεται A. — [6] χολῆ AK', Mack. – χολὴ vulg. – τάδε A. – περὶ ἰκτέρου in tit. A. — [7] ἐν om. C. — [8] ἔστ' ἂν ἔχει C. — [9] ὁ om. A. – ὁπόταν C. — [10] ἐόντος ἐντὸς A. – ἐνεόντος (ἐνόντος C) sine ἐντὸς vulg. — [11] τούτῳ Zwing. in marg. – οὕτω K', Lind., Mack. – γίνεται pro δεῖ A. — [12] ἐνψοφεῖ A. – λὺγξ C, Lind., Mack. – λὺξ vulg. — [13] ἔτι ὧν A. – ἀπιὼν vulg. – ἀποχρέματος E. – ἐνεόντος A. – ἐόντος vulg. — [14] ἀσθενέοντος A. – ἐπικίνδυνα om. A. — [15] πῶς δεῖ ἰᾶσθαι πλευρίτιν in tit. A. – χρῆσθαι sine δὲ A. – ὀξηρῷ μελικρήτω pro ὀξυμελ. A. — [16] ἐπίταξις Ald. –

et la respiration gênée. Si l'éruption du pus ne s'est pas encore faite, la succussion produit un bruit dans le côté comme dans une outre. Si aucun de ces signes ne se manifeste, bien qu'il y ait empyème, on tirera le diagnostic de ceci : la dyspnée est grande, la voix est un peu rauque, les pieds et les genoux sont enflés, surtout du côté où est le pus, la poitrine est bombée, les membres sont sans force, de la sueur se répand sur le corps entier, le patient se sent tantôt chaud, tantôt froid, les ongles se recourbent, le ventre est chaud. C'est à ces signes qu'il faut reconnaître l'empyème (*Comp.* Pronostic, § 17, t. II, p. 153; et Prénotions Coaques, § 396, t. V, p. 673).

15. (*Cinquième fluxion : sur la moëlle épinière; comparez la phthisie dorsale dans le livre* des Affections internes.) Quand le flux se porte en arrière sur le rachis, il se produit cette sorte de phthisie : les lombes sont douloureuses, et il semble au patient que le devant de la tête est vide.

16. (*Complication bilieuse des affections de poitrine.*) Voici des cas dangereux par la bile : il survient un ictère, aux yeux et aux ongles apparaissent des lividités, les plaies, s'il y en a dans le corps, et le voisinage des plaies deviennent livides, la sueur se montre non sur le corps entier, mais sur une partie seulement, l'expectoration devient verdâtre, la fièvre persistant, ou s'arrête, des matières verdâtres étant encore dans le poumon. Ces circonstances, il faut connaître quand elles existent ou n'existent pas. Quand elles existent, il se fait du bruit dans la gorge pendant la respiration ; il y a une dyspnée dangereuse, du hoquet ; la fièvre persiste, la matière de l'expectoration demeurant encore dans le poumon; et le ventre se dérange, le malade étant déjà faible. Ce sont là des signes de danger dans la pleurésie et dans la péripneumonie.

17. (*Traitement de la pleurésie et de la péripneumonie.*) Il faut ainsi traiter la pleurésie : on n'apaisera pas la fièvre avant

γένηται καὶ om. A. – γενομένη C. – ποιέει A. – ποιέῃ.... ἐπανάχρεμψιν om. E.

ἐπανάχρεμψιν ποιέῃ· καὶ τὴν ὀδύνην παύειν θερμαντηρίοισι φαρμάκοισι, καὶ καταῤῥοφεῖν διδόναι ὅ τι ἐπανάχρεμψιν ποιήσει, καὶ λουτροῖσι [1]χρῆσθαι τεταρταίοισιν· τῇ δὲ πέμπτῃ καὶ [2]τῇ ἕκτῃ χρίειν ἐλαίῳ· τῇ δὲ ἑβδόμῃ λούειν, ἢν μὴ ὁ πυρετὸς μέλλῃ ἀφιέναι, ὡς ὑπὸ τοῦ λουτροῦ ὁ ἱδρὼς ἐγγένηται· καὶ ἔτι τῇ πέμπτῃ καὶ τῇ ἕκτῃ ἰσχυροτάτοισι χρῆσθαι τοῖσιν ἐπαναχρεμπτηρίοισι φαρμάκοις, ὡς τὴν ἑβδόμην ὅτι [3]ῥήϊστα ἡμέρην ἀγάγῃ· ἢν δὲ μηδὲ τῇ ἑβδόμῃ [4]ἡμέρῃ παύσηται, τῇ ἐννάτῃ [5]παύσεται, ἢν μή τι ἄλλο τῶν ἐπικινδύνων γένηται· ἐπὴν δὲ ὁ πυρετὸς ἀφῇ, ῥοφήματα ὡς ἀσθενέστατα ποιέων προσφέρειν· ἢν δὲ [6]ἰνηθμὸς ἐγγένηται, ἢν μὲν [7]ἔτι θερμοῦ τοῦ σώματος ἐόντος, τῶν ποτῶν ἀφαιρέειν· ἢν δὲ τοῦ πυρετοῦ [8]ἀφεικότος, πυρίνοις τοῖσι ῥοφήμασι χρῶ. Καὶ τὴν περιπλευμονίην τὸν αὐτὸν τρόπον ἰῶ.

18. Τοὺς [9]ἐμπύους καθαίρειν τὴν κεφαλὴν μὴ ἰσχυροῖσι φαρμάκοισιν, ἀλλὰ κατὰ μικρὸν ἀποτρέπειν ἐς τὰς ῥῖνας, καὶ ἅμα διαχωρητικοῖσι σιτίοισι χρῆσθαι· καὶ ἐπὴν ἡ ἀρχὴ τοῦ νοσήματος μηκέτι [10]ᾖ, ἀλλ' ἐκτρέπηται ὁ ῥόος, ἐπανάχρεμψιν ποιέεσθαι, καὶ βῆχα ποιέειν, καὶ ἐγχύτοισι φαρμάκοισι χρῆσθαι καὶ σιτίοισιν ἅμα· ὁπόταν δὲ [11]δέῃ ἀπόχρεμψιν ποιέεσθαι, καὶ πλέοσι σιτίοισι καὶ ἁλυκοῖσι χρῆσθαι καὶ λιπαροῖσι, καὶ οἴνῳ αὐστηρῷ, καὶ βῆχα ποιέειν ὅταν [12]ὧδε ἔχῃ.

19. Καὶ τοὺς ὑπὸ τῆς φθίσιος τὸν αὐτὸν τρόπον τἄλλα, πλὴν τὰ [13]σιτία μὴ πολλὰ ἅμα, καὶ τὰ ὄψα μὴ πλέονα ἢ τὰ σιτία, καὶ τῷ

[1] Χρέεσθαι (bis) Mack. — [2] τῇ om. A. – δ' C. – ὁ om. A. – φαρμάκοισι Lind. — [3] ῥῆστα A. – ἀγάγει A. — [4] ἡμέρα A. — [5] παύσηται E, Ald. – παύεται A. – τι om. E. – δ' AC. – ἀφῇ vulg. (Zwing. in marg.) – ἀφῇ Zwing., Lind., Mack. – Tous les traducteurs lisent ἀφῇ. – ῥυφ. ubique C, Ald. — [6] ἰνθμὸς A, Ald. – ῥυγμὸς C. – νυγμὸς vaticana exemplaria ap. Foes in notis. — [7] ἔστι C. – νεαροῦ vulg. – Quoique je n'aie aucun ms. pour autorité, je n'hésite pas à substituer θερμοῦ à νεαροῦ. L'opposition des deux membres de phrase et le sens me paraissent exiger cette correction d'une manière incontestable. – ἐόντος τοῦ σώματος A. – πότων C. – ἀφερέειν Ald. — [8] ἀφεικότος, al. manu ἀφεγκότος (sic) C. – ἀφέντος L. – ἀφιέντος K', Lind., Mack. – ἀφίκοντος vulg. – πυρίνοισι Lind., Mack. – τοῖσι A, Lind., Mack. – τοῖς vulg. — [9] ἐμπύρους C. – [δὲ] καθ. Lind – ἀποτρέμειν C. – χρέεσθαι ubique Lind., Mack. — [10] ἴῃ C. – ἐκτρέπηται A, Lind., Mack. – ἐκτρέπεται vulg. – ἐγχύλοισι quædam exemplaria ap. Foes in notis. — [11] δέῃ A. – δεῖ vulg. — [12] ὧδε om. A. – φθίσηος C. — [13] σίτα A. – σιτία a ici le sens d'aliment qu'on mange avec la viande ou

sept jours ; on prescrira pour boisson ou le mélicrat acidulé ou un mélange de vinaigre et d'eau ; on donnera cette boisson aussi abondamment que possible, afin qu'il y ait humectation et, après l'humectation, expectoration ; on calmera la douleur par des médicaments échauffants ; on donnera en potage ce qui provoque l'expectoration ; on emploiera les bains au quatrième jour ; le cinquième et le sixième jour on fera des frictions huileuses ; le septième on donnera, à moins que la fièvre ne doive cesser, un bain, afin que le bain détermine la sueur. C'est aussi au cinquième et au sixième jour qu'il faut user des remèdes expectorants les plus énergiques, afin que le malade passe le septième jour aussi bien que possible. Si la fièvre ne s'est pas calmée le septième jour, elle se calmera le neuvième, à moins qu'il ne survienne quelques-uns des symptômes dangereux. La fièvre ayant cessé, on préparera les potages les plus faibles, et on les administrera. Survient-il des évacuations alvines, on diminuera les boissons si le corps est encore fébrile ; on donnera les potages au blé si la fièvre a cessé. Traitez la péripneumonie de la même façon.

18. (*Traitement de l'empyême.*) Quant à l'empyême, on purgera la tête avec des médicaments peu énergiques, de manière à faire petit à petit une dérivation sur les narines, et en même temps on recommandera les aliments qui relâchent le ventre. Quand on n'est plus au début de la maladie, et que déjà la fluxion s'est détournée, on provoquera l'expectoration, on excitera la toux et on donnera des médicaments qui auront infusé et des aliments en même temps. Quand il faut provoquer l'expectoration, on donnera des aliments plus abondants, salés, gras, et du vin astringent ; et on excitera la toux quand il en est ainsi.

19. (*Traitement de la phthisie.*) Les individus atteints de

les autres mets. L'opposition où il est avec ὄψα le détermine clairement. Comme il n'y a pas en français de terme équivalent, j'ai traduit σιτία par *le pain et la pâte*, c'est-à-dire en détaillant ce qui composait les σιτία, qui en effet étaient tirés des céréales.

οἴνῳ ὑδαρεῖ χρῷ ἐπὶ τῷ σιτίῳ, ὡς μὴ [1]θερμαίνῃ, καὶ τῷ σώματι ἀσθενεῖ ἐόντι θερμότητα παρέχῃ, καὶ ἅμα ἀμφότερα θερμαίνωσιν ἐν τῷ αὐτῷ χρόνῳ καὶ θερμωλὴν ποιέωσιν.

20. Ῥεῦμα πουλὺ ὁπόταν διὰ τοῦ οἰσοφάγου ἐς τὴν κοιλίην ῥεύσῃ, [2]ἴνησις γίνεται κάτω, ἔστι δ' ὅτε καὶ ἄνω· τούτῳ ἢν μὲν ὀδύνη ἐνῇ ἐν τῇ γαστρὶ, [3]ὑπεξάγειν πρῶτον φαρμάκῳ ἢ χυλῷ, ἔπειτα φαρμάκῳ ἰσχητηρίῳ χρῆσθαι, τοῖσι [4]δὲ σιτίοισι διαχωρητικοῖσιν ἕως ἂν ἡ ὀδύνη ἔχῃ· ἐπὴν δὲ παύσηται ἡ ὀδύνη, καὶ τοῖσι σιτίοισιν [5]ἰσχητηρίοισι χρῆσθαι· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὴν πολλὰς ἡμέρας [6]ἴνησις ἔχῃ, ἰᾶσθαι· ἢν δὲ ἀσθενὴς ᾖ καὶ μὴ δύνηται προσφέρεσθαι ὑπὸ ἀσθενείης, κλύζειν πρῶτον μὲν χρὴ χυλῷ πτισάνης, ἔπειτα ἐπὴν τούτῳ [7]καθήρῃς, τῶν στυφόντων τινί.

21. [8]Ὁπότε δ' ἐς τὴν σάρκα ὄπισθεν παρὰ τοὺς σπονδύλους ῥεῦσαν ὕδρωπα ποιήσῃ, ὧδε χρὴ ἰᾶσθαι· καίειν τὴν σάρκα τὴν ἐν τῷ τραχήλῳ μεταξὺ τῶν φλεβῶν ἐσχάρας τρεῖς, καὶ ἐπὴν [9]καύσῃς, ξυνάγειν καὶ ποιέειν ὡς ἰσχνοτάτας οὐλάς· καὶ ἐπὴν ἀποφράξῃς, πρὸς τὰς ῥῖνας φάρμακον πρόσφερε, [10]ὡς ἐκτρέπηται, καὶ ἀσθενὲς αὖθις καὶ αὖθις, ἕως ἂν ἀποτρεφθῇ· καὶ τὰ μὲν ἔμπροσθεν τῆς κεφαλῆς θέρμαινε, τὰ δ' ὄπισθεν ψῦχε· καὶ ἐπήν σοι ἐκτεθερμασμένος ᾖ τὰ ἔμπροσθεν τῆς κεφαλῆς, [11]σιτία ἐσθίειν τὰ φλεγματωδέστατα καὶ ἥκιστα

[1] Θερμαίνει A. – παρέχει A. – θερμωλὴν ποιέουσι. Ῥεῦμα πολὺ ὁπόταν A. – θερμωλῇ ποιέουσι (ποιοῦσι C; ποιέωσιν K', Mack) ῥεῦμα πουλύ. Ὁπόταν vulg. (ὁπόταν [δὲ] Lind.). — [2] νῆσις vulg. – ἵμησις A. – ἴνησις Mack ex Askew. – γένηται C. – ἐνῇ om. A. — [3] ὑπεξαγάγειν (sic) A. – ἰσχυροτέρῳ vulg. – ἰσχητηρίω AC. – ἰσχυτηρίῳ Ald., Zwing. in marg., Lind., Mack. – Érotien, p. 384, a la glose : φαρμάκῳ ἰσχητηρίῳ, ἀντὶ τοῦ ἰσχαίμῳ. Je pense en conséquence qu'il faut lire ἰσχητηρίῳ. Toutefois la leçon ici de Alde (ἰσχυτηρίῳ), et plus bas de vulg. (ἰσχυτηρίοισι), est bonne aussi : *substances fortifiantes.* — [4] τε pro δὲ Lind., Mack. – ἢ pro ἡ E. – ἔχει A. — [5] ἰσχητηρίοισι AC. – ἰσχυτηρίοισι vulg. — [6] ἡ νῆσις vulg. – ἡ ἴησις A. – ἡ νῆστις, in marg. νῆσις C. – ἴνησις Mack. – ἔχει A. — [7] καθήρεις A. – Post τινὶ addunt ὕστερον ἐπὴν τοῦτο κλύσῃς AC (τούτῳ κλυσθῇ Zwing. in marg.). – C'est évidemment une glose de καθήρῃς, laquelle a passé dans le texte. — [8] ὁπόταν A. – ῥεύσαντας vulg. – ῥεῦσαν A. – ῥεύσῃ καὶ Lind., Mack. – πῶς δεῖ ἰᾶσθαι ὕδρωπα in tit. A. — [9] καῦσις C. — [10] ἕως Lind., Mack. – καὶ ἀσθενὲς αὖθις (αὖτις C) ἕως vulg. – ἄλλο αὖθις vel ἀσθενὲς ὕστερον Zwing. in marg. – καὶ ἀσθενὲς ἀλλ' εἰσαῦθις (sic) K'. – καὶ ἀσθενὲς αὖθις ἄλλο, ἕως Chartier, Mack. – καὶ ἀσθενὲς αὖτις καὶ αὖτις, ἕως A. – ψῦχε Kühn. – ψύχε vulg. – ἐκθερμασμένος E, Ald. — [11] σιτία [δὲ] Lind., Mack. – ῥοαὶ A. – δ' om. A.

phthisie seront traités de la même manière, si ce n'est qu'on ne donnera pas à la fois beaucoup de pain ou de pâte (*voy. p.* 310, *note* 13), et que les mets que l'on mange avec ne seront pas plus abondants que le pain ou la pâte ; on prescrira de prendre par-dessus le pain ou la pâte un vin aqueux, afin que ce vin n'échauffe pas, qu'il ne communique pas sa chaleur au corps affaibli, et que, tous deux, le vin et le corps, échauffant en même temps, la fièvre ne soit pas provoquée.

20. (*Traitement de la fluxion qui se fait dans le ventre.*) Quand une fluxion abondante se porte par l'œsophage au ventre, il survient des évacuations par le bas et quelquefois par le haut. Dans ce cas, s'il y a de la douleur dans le ventre, on évacue d'abord à l'aide d'un médicament ou de l'eau de gruau; puis on administre un médicament astringent. On emploie les aliments relâchants tant qu'il y a douleur; mais, quand la douleur a cessé, on a recours aussi aux aliments astringents. On se sert encore du même traitement quand les évacuations ont duré plusieurs jours. Quand le patient est faible, et qu'en raison de cette faiblesse on ne peut lui administrer un médicament évacuant, on lui nettoiera d'abord le corps avec l'eau de gruau ; puis, après ce lavage intérieur, on lui donnera quelque chose d'astringent.

21. (*Sixième fluxion : sur les vertèbres et produisant l'hydropisie. Traitement.*) Quand la fluxion, se portant dans la chair en arrière près des vertèbres, a produit l'hydropisie, il faut employer ce traitement-ci : faire à la chair du cou, entre les veines, trois eschares; après cette cautérisation, resserrer, de manière à avoir les cicatrices les plus étroites; la voie étant ainsi interceptée, appliquer aux narines un médicament qui provoque la dérivation; ce médicament sera peu énergique, et vous en réitérerez l'application jusqu'à ce que la dérivation soit opérée. Échauffez le devant de la tête, refroidissez la partie postérieure ; et quand vous avez échauffé le devant de la tête, faites manger les aliments les plus phlegmatiques (*voy.* p. 290, *note* 15) et les moins relâchants, afin que les couloirs

διαχωρητικὰ, ὡς ὅτι μάλιστα διευρυνθῶσιν αἱ ῥοιαὶ αἱ ἔμπροσθεν τῆς κεφαλῆς· ἔπειτα δ' ἐπὴν ἀποφράξῃς καὶ [1] ἀποτρέψῃς τὴν ἐπίῤῥυσιν, ἤν τι πρὶν ἢ εὐτρεπίζειν τὸ ῥεῦμα ἐς τὸ σῶμα ἔλθῃ, ὧδε χρὴ ἰᾶσθαι· ἢν μὲν μᾶλλον πρὸς τὸ δέρμα ἐκκεχωρηκὸς ᾖ, τὰ ἔξωθεν πυριῶντα· ἢν [2] δ' ἔνδον πρὸς τὴν κοιλίην, ἔξωθεν δὲ μὴ δῆλον ᾖ, φάρμακον πιπίσκοντα· ἢν δ' ἐπ' ἀμφότερα, ἀμφοτέρων ἀφαιρέειν· ἐπιτηδεύειν δὲ χρὴ ἐγγυτάτην ἔξοδον ποιέειν, ἤν τε κάτω, ἤν τε ἄνω, ἤν τε ἄλλῃ ὅπῃ τοῦ σώματος ἔξοδοί εἰσιν.

22. [3] Ὁπόταν ἰσχιὰς ἀπὸ ῥόου γένηται, σικύην χρὴ προσβάλλειν, καὶ ἕλκειν ἔξω, καὶ μὴ κατακρούειν, καὶ ἔνδοθεν θερμαντήρια φάρμακα πιπίσκοντα διαθερμαίνειν, ὅπως ἔξοδος ᾖ καὶ ἔξω [4] ἐς τὸ δέρμα ὑπὸ τῆς ἑλκύσιος τῆς σικύης, καὶ ἐντὸς πρὸς τὴν κοιλίην ὑπὸ τῆς θερμασίης· ὁπόταν γὰρ ἀποφραχθῇ καὶ μὴ ἔχῃ ὅπῃ [5] ὁδοιπορέῃ, ὁδοιπορέουσα ἐς τὰ ἄρθρα ῥέει ἐς τὸ ὑπεῖκον, καὶ ἰσχίαδα [6] ποιέει.

23. Ἡ ὄπισθεν φθίσις· τούτῳ τὴν κεφαλὴν καθαρτέον ἀσθενεῖ φαρμάκῳ, ἕως ἂν [7] ἀποτρεφθῇ ὁ ῥόος, καὶ τῇ διαίτῃ ὥσπερ ἔμπροσθεν χρῶ, φάρμακον δὲ [8] πίσον ἐλατήριον, καὶ κάτω γάλακτι κλύσον, τὰ δ' ἄλλα πυρίῃσιν ἴω.

24. [9] Ἐπὴν ὁ σπλὴν ὑπὸ πυρετοῦ μέγας γένηται, [10] γίνεται δὲ ὅταν τὸ σῶμα λεπτυνθῇ, τοῖσι γὰρ αὐτοῖσιν ὅ τε σπλὴν θάλλει καὶ τὸ σῶμα φθίνει· ὅταν δὲ τὸ σῶμα λεπτὸν ᾖ καὶ ὁ σπλὴν [11] θάλλῃ καὶ τὸ ἐπίπλοον ἅμα τῷ σώματι λεπτυνθῇ, ἡ πιμελὴ ἡ ἐν τῷ ἐπιπλόῳ [12] ἐκτήκεται· ἐπὴν δὲ ταῦτά τε κενὰ πιμελῆς γένηται καὶ ἀπὸ τοῦ σπληνὸς θάλλοντος [13] ἀποῤῥέῃ ἐς τὸ ἐπίπλοον, ὡς ἐγγύτατα ἐὸν τὸ ἐπίπλοον, ὥστε τεύχεα [14] ἔχον καὶ ταῦτα κενεὰ, ἐσδέχεται· καὶ ἐπὴν τὸ

[1] Ἀποστρέψῃς A. – ἐπίρρυσιν A. – ἐπόῤῥευσιν (sic) Lind. – ἐπίῤῥησιν vulg. – ἢ om. A. — [2] δὲ C. – ἔνδοθεν A. — [3] ὁκόταν δὲ K', Mack. – ὁπ. [δὲ] Lind. — [4] εἰς Mack. – ἑλκύσηος C. – θερμανσίης C. — [5] ὁδ. om. A. – ῥέει C, Mack. – ῥεῖ vulg. — [6] ποιέει ἢ (ἢ om. C; ἡ Zwing. in marg.) ὄπισθεν φθίσιν. Τούτῳ vulg. – ποιέει. Ἡ ὄπισθεν φθίσις (φύσις A) Ald., Lind. — [7] ἀποστρεφθῇ A. — [8] πεῖσον A. – πίσαι C. – ἐλατηρὸν A. – κλύσον Kühn. – κλῦσον vulg. — [9] ὕδωρ ἐς τὸ ἐπίπλοιον in tit. AC. — [10] γίνηται A. – τοῖσι γὰρ αὐτοῖσιν ὅτε τὸ σῶμα θάλλει καὶ ὁ σπλὴν φθίνει Mack. – Vid. Gal., XI, De Potent. nat. cap. ult. : καὶ μὲν ὅτι γε τὸ σῶμα θάλλει, τούτοις ὁ σπλὴν φθίνει. — [11] θάλλει Mack. – ἐπίπλοιον AC. – ἢ ἐν τῷ ἐπιπλόῳ ἐστὶν τήκεται C. — [12] ἐστήκεται (sic) A. – τε AC. – τε om. vulg. – κενεὰ Lind., Mack. – θάλοντος C. — [13] ἀπορρέῃ AC, Lind., Mack. – ἀποῤῥέει vulg. – ἐπίπλοιον (bis) AC. — [14] ἔχειν Lind., Mack.

qui sont au-devant de la tête se dilatent autant que possible. Après que la voie est interceptée et que vous avez dérivé la fluxion, s'il en est arrivé, avant votre entremise, quelque chose dans le corps, vous traiterez ainsi : si le transport s'est fait de préférence sur la peau, on pratiquera des étuves à l'extérieur; s'il s'est fait au-dedans sur le ventre et qu'il n'y ait rien de manifeste à l'extérieur, on fera boire un médicament évacuant. S'il s'est fait des deux côtés, on opérera la soustraction des deux côtés. Mais il faut avoir soin de prendre la voie la plus prochaine, soit par le bas, soit par le haut, soit par tout autre lieu où le corps offre des voies d'élimination.

22. (*Septième fluxion : sur les hanches.*) Quand la fluxion produit le mal de hanche, on applique une ventouse; on attire au dehors sans faire de scarification; et, donnant à l'intérieur des médicaments échauffants, on échauffe, afin qu'il y ait issue, et par le dehors à la peau, à l'aide de l'attraction de la ventouse, et par l'intérieur au ventre, à l'aide de la chaleur. En effet, quand la voie est interceptée et que la fluxion n'a pas où aller, elle se porte sur les articulations, flue sur les endroits qui cèdent, et produit le mal de hanche.

23. (*Traitement de la phthisie postérieure;* voy. §§ 10 et 15. *Comparez la phthisie dorsale dans le livre* des Affections internes.) Phthisie postérieure : dans ce cas, il faut purger la tête à l'aide d'un médicament peu énergique, jusqu'à ce que la fluxion soit détournée. Vous emploierez le même régime que précédemment, vous donnerez un médicament purgatif, et vous nettoierez le ventre par le bas avec du lait. Pour le reste vous vous servirez des bains de vapeur.

24. (*Tuméfaction de la rate par l'effet de la fièvre. Traitement.*) Il arrive que la rate devient grosse par la fièvre, et elle grossit quand le corps s'exténue. En effet, tout ce qui fait grossir la rate consume le corps; quand le corps est amaigri, que la rate est gonflée, et que l'épiploon s'est atténué en même temps que le corps, la graisse qui est dans l'épiploon se fond. Quand cela est devenu vide de graisse, la rate qui prospère

νόσημα ἅπαξ ἐν τῷ σώματι γένηται, ἐς [1] τὸ νοσέον τρέπεται, ἢν μή τις εὐτρεπίζῃ, ὡς καὶ τὸ εὐτρεπιζόμενον ἐπικίνδυνον. Τοῦτον ὧδε ἰᾶσθαι· φάρμακα πιπίσκειν ὑφ' ὧν ὕδωρ [2] καθαιρεῖται, καὶ σιτία τὰ φλεγματωδέστατα διδόναι· ἢν δὲ μηδ' οὕτω [3] ῥάων γένηται, καίειν ὡς λεπτότατα καὶ ὡς ἐπιπολαιότατα, ὅπως τὸ ὕδωρ ἴσχειν δύνῃ, πέριξ τοῦ ὀμφαλοῦ [4] κύκλον, καὶ ἐς τὸν ὀμφαλὸν [5] μὴ, καὶ ἀφιέναι ἑκάστης ἡμέρης. Τῶν νοσημάτων ὅ τι ἂν ἐπικινδυνότατόν ἐστιν, ἐν [6] τούτοισι παρακινδυνεύειν χρή· ἐπιτυχὼν μὲν γὰρ ὑγιᾶ ποιήσεις, ἀτυχήσας [7] δ' ὅπερ καὶ ὡς ἔμελλε γίνεσθαι, τοῦτ' ἔπαθεν.

25. [8] Παιδίῳ δὲ χρὴ ὕδρωπα ὧδε ἰᾶσθαι· τὰ οἰδέοντα καὶ ὕδατος ἔμπλεα [9] ἐξοίγειν μαχαιρίῳ πυκνὰ καὶ σμικρὰ ἐξοίγοντα, ἐξοίγειν δ' ἐν μέρει ἑκάστῳ τοῦ σώματος, καὶ πυρίῃσι χρήσασθαι, καὶ αἰεὶ τὸ ἐξοιγόμενον χρίειν θερμαντηρίῳ φαρμάκῳ.

26. [10] Πλευρῖτις ξηρὴ ἄνευ ῥόου γίνεται ὅταν ὁ [11] πλεύμων λίην ξηρανθῇ ὑπὸ δίψης ἀναγκαίης· ὁ γὰρ πλεύμων, ἅτε ξηρὸς ἐὼν, ἐπήν τι μᾶλλον ξηρανθῇ τῆς φύσιος, ἰσχνὸς γίνεται, καὶ ἀκρατὴς γενόμενος, [12] κλιθεὶς ἐς τὸ πλευρὸν ὑπ' ἀκρασίης, ψαύει τοῦ πλευροῦ· καὶ ἐπὴν θίγῃ ὑγροῦ ἐόντος, ἅπτεται, καὶ πλευρῖτιν ποιέει· τότε δὲ καὶ ὀδύνη γίνεται ἐς τὸ πλευρὸν καὶ ἐς τὴν [13] κληῖδα, καὶ πυρετὸς, καὶ ἐπαναχρέμπτεται λευκόν. Τοῦτον χρὴ πολλοῖσι πότοισιν ἰᾶσθαι, καὶ λούειν, καὶ τῆς ὀδύνης φάρμακον διδόναι καὶ τἄλλα τὰ ἀνάχρεμψιν ποιεῦντα·

[1] Τὸν A. – εὐτρεπίζει A. – ὡς om. C, Mack. – ἐπὶ κινδύνου vulg. – ἐπικίνδυνον ACP', Zwing. in marg., Lind., Mack. — [2] καθαίρεται A. – σιτία τὰ om. C. — [3] ῥαίον, al. manu ῥαίων A. — [4] κυκῶν C. – δὲ pro καὶ Kühn. — [5] μίαν vulg. – μέγαν Zwing. in marg. – μὴ pro μίαν Foes in not., Lind., Mack. – Cette correction me paraît fort bonne. Elle résulte de la marche même de la phrase : après avoir signalé qu'il fallait pratiquer les eschares autour du nombril, il a dû ajouter : *mais non au nombril même*. – ἡκάστης E. – ἐπὶ κίνδυνον παραλάβῃς pro ἐπικινδυνότατόν ἐστιν A. – Cette leçon de A est fort acceptable ; elle a le même sens que celle de vulg. ; παραλαβεῖν ἐπὶ κίνδυνον ne manque pas d'une certaine élégance. — [6] τουτέοισι Mack. — [7] δὲ AC, Lind. — [8] πῶς δεῖ ὕδρωπα παιδίου ἰᾶσθαι in tit. A. — [9] ἐξάγειν et ἐξάγοντα Mack. – χρῆσθαι A. – αἰεὶ AE, Mack. – ἀεὶ vulg. – τὸν C, Ald. – χρίην A. – χρείειν C. – Dans le Phrynichus de Bekker, p. 46, le parfait de χρίω, est toujours κεχρεῖσθαι quand il s'agit d'oindre, et κεχρίσθαι quand il s'agit de blesser. De là sans doute χρείειν de C. — [10] περὶ πλευρίτιδος in tit. A. — [11] πν. (bis) A. – φύσηος C. — [12] καὶ (καὶ om. A) κλισθεὶς (κλιθεὶς A, Lind., Mack) vulg. – C'est une bonne suppression que celle du καὶ de vulg. par A. – παύει pro ψαύει A. — [13] κληίδα Kühn. – κλητδα vulg.

fournissant un flux, l'épiploon, qui est le plus voisin et qui a des vaisseaux, et des vaisseaux vides, reçoit ce flux. Une fois que la maladie est développée dans le corps, tout se tourne vers la partie affectée, à moins qu'on n'y applique un bon traitement; et encore, même avec un bon traitement, il y a du danger. On traitera ainsi le malade : faire boire des médicaments qui évacueront l'eau, et donner les aliments les plus phlegmatiques (*qui fournissent le plus de sucs*, voy. p. 290, note 15); si, même avec ce régime, l'état ne s'améliore pas, pratiquer des cautérisations aussi légères et superficielles que possible, de manière que l'eau puisse être retenue; ces cautérisations seront placées en cercle autour de l'ombilic, mais non à l'ombilic même; puis, chaque jour, on donnera sortie au liquide. Parmi les maladies, c'est sur les plus dangereuses qu'il faut risquer des essais; réussissant, vous rendez la santé; échouant, l'issue sera ce qu'elle devait être et comme elle devait être.

25. (*Traitement de l'hydropisie chez un enfant.*) Chez un enfant on traitera ainsi l'hydropisie : dans les parties tuméfiées et pleines d'eau on pratiquera avec un bistouri des mouchetures nombreuses et petites; et on les pratiquera successivement sur chaque partie du corps; on emploiera les bains de vapeur, et continuellement on oindra les mouchetures avec un médicament échauffant.

26. (*De la pleurésie sèche, sans fluxion.*) La pleurésie sèche, sans fluxion; se produit quand le poumon est desséché en excès par une soif imposée. Le poumon étant sec naturellement, s'il est encore desséché par surcroît, devient atténué; il perd de la sorte sa crase, ce qui le fait pencher vers le côté; il y touche, et, ayant touché le côté, qui est humide, il s'y colle et produit la pleurésie; alors survient de la douleur au côté et à la clavicule, de la fièvre et une expectoration incolore. Dans ce cas on administrera des boissons abondantes, des bains, le médicament pour la douleur, et les médicaments qui favorisent l'expectoration. Cette affection guérit en sept

οὗτος ἐν [1]ἡμέρῃσιν ἑπτὰ ὑγιὴς γίνεται, καὶ τὸ νόσημα ἀκίνδυνόν ἐστι, καὶ σιτία οὐ χρὴ διδόναι.

27. [2]Πυρετοὶ διὰ τόδε γίνονται, ὅταν τοῦ σώματος ὑπερφλεγμήναντος αἱ σάρκες [3]ἀνοιδήσωσιν, καὶ τὸ φλέγμα καὶ ἡ χολὴ κατακλεισθέντα ἀτρεμίζωσι, [4]καὶ μὴ ἀναψύχηται μηδὲν μήτ' ἐξιὸν μήτε κινεύμενον, μήτ' ἄλλου ὑπιόντος. [5]Ὁπόταν κόπος ἔχῃ καὶ πυρετὸς καὶ πλησμονὴ, λούειν χρὴ πολλῷ, καὶ χρίειν [6]ὑγρῷ, καὶ θερμαίνειν ὡς μάλιστα, ὡς ἡ θερμωλὴ, ἀνοιχθέντος τοῦ σώματος, ὑπὸ [7]τοῦ ἱδρῶτος ἐξέλθῃ· ἑξῆς δὲ ταῦτα ποιέειν καὶ τρεῖς καὶ τέσσαρας ἡμέρας· καὶ ἢν μὴ [8]παύηται, φάρμακον πίσαι χοληγαγικὸν, [9]καὶ [μὴ] ψύχειν τὸν πυρετὸν, [10]πρὶν ἢ τεταρταῖος ᾖ, μηδ' ὡς ἂν τὸ σῶμα θάλλῃ, πιπίσκειν φάρμακον· οὐ γὰρ [11]ἰνῶνται εἰ μὴ σμικρὸν, ὥστε συνοιδέοντος τοῦ σώματος· ἐπὴν δὲ ἰσχνὸς ᾖ, [12]πιπίσκειν, καὶ ἰνήσεται. Πυρετῷ σιτίον μὴ προσφέρειν, μηδὲ ῥοφήμασιν ὑπεξάγειν, καὶ [13]ποτὸν ὕδωρ θερμὸν καὶ μελίκρητον καὶ ὄξος σὺν ὕδατι, ταῦτα δὲ πιπίσκειν ὡς πλεῖστα· ἢν γὰρ [14]μὴ ψυχρὸν ἐσίῃ, τὸ ποτὸν θερμὸν ἐὸν καὶ μένον ἐκ τοῦ σώματος τοῦ νοσέοντος ἀφαιρέει, ἤν τε διουρήσῃ, ἤν τε διιδρώσῃ· πάντῃ δὲ ἀνοιγόμενόν τε καὶ ἀναπνέον καὶ [15]κινεύμενον τὸ σῶμα συμφέρον [16]ποιήσει. Ἐπὴν δὲ ἰσχνὸν ἐόντα καίῃ, δῆλον ὅτι οὐ διὰ τὸ φλεγμαίνειν ὁ πυρετὸς ἔχει· καὶ ἢν μὴ παύηται, τρέφειν, καὶ φλεγμαίνειν ποιέειν· καὶ ἢν [17]μηδ' οὕτω ξυμφέρῃ, δῆλον ὅτι οὐκ ἐχρῆν τὸν πυρετὸν παρέχειν· τοῦτον χρὴ φάρμακον πίσαι, ὡς ὑπεξάγῃ, ὅπῃ ἂν μᾶλλον ὁ πυρετὸς [18]ἔχῃ, ἤν τε κάτω, ἤν τε ἄνω, ἢν

[1] Ἑπτὰ ἡμ. A. — [2] π. διὰ τ. γ. om. C. – δι' αὐτὸ δὲ vulg. – διὰ τόδε A. — [3] συνοιδήσωσι A. – ἀτρεμήζωσιν C. — [4] καὶ μὴ ἀν. om. C. — [5] ὁπόταν [οὖν] Lind. – πλησμὸς pro πλ. C. – χρείειν C. — [6] ὑγρῶ C. – ὑγρὸν vulg. – ὑγρῶν, al. manu ὑγρὸν A. – ὡσεὶ θερμώδη pro ὡς ἡ θ. C. — [7] τοῦ om. A. – ἑξῆς δ' εὖ αὐτὰ vulg. – ἑξῆς δὲ ταῦτα A. — [8] παύεται A. – πεῖσαι χοληγὸν A. – χολικὸν C. — [9] Il me semble qu'une négation est omise. J'ai suppléé μὴ entre crochets. — [10] πλὴν εἰ K'. – μή δὲ (sic) ὡς C. – ἕως Lind., Mack. – θάλλει C, Mack. — [11] ἰνῶνται A. – ἰνοοῦνται (sic) K'. – κρίνονται vulg. – δ' εἰσχνὸς A. — [12] πιπίσκευναι pro π. καὶ A. – ἰνήσεται AEK', Ald., Lind., Mack. – εἰνήσεται C. – ἠνήσεται vulg. — [13] ποτὸν A. – πιὼν vulg. – μελίκρητον A, Mack. – μελίκρατον vulg. – μελίκρητα C. — [14] ψυχρὸν μὴ A. – ἐστιν pro ἐσίῃ C. — [15] κινεύμενον AC. – κινούμενον vulg. — [16] πρήσσει A. – πρήσει C. – ὄντα καὶ ἢ A. — [17] μὴ οὕτω ξυμφέρει, δῆλον ὀντὶ τῶν οὐκ ἐχρῆν τὸν π. παρέχει A. – πεῖσαι A. – ὑπεξάγειν A. — [18] ἔχει ἢν τ' ἄνω ἤν τε κάτω A.

jours, elle est sans danger, et il ne faut pas donner d'aliments.

27. (*Production des fièvres et traitement.*) Les fièvres ont cette cause-ci : le corps ayant reçu un excès de phlegme (*voy.* p. 290, *note* 15), les chairs se gonflent, le phlegme et la bile enfermés deviennent immobiles, rien ne se rafraîchit ni par issue ni par mouvement, et il ne se fait aucune évacuation. Quand il y a fatigue, fièvre et pléthore, on lave avec beaucoup d'eau chaude, on oint avec un corps gras liquide, et on échauffe autant que possible, afin que la chaleur, le corps s'étant ouvert, s'en aille par la sueur ; tout cela doit se faire trois et quatre jours de suite, et, si le mal ne cesse pas, on fera boire un médicament cholagogue. On ne rafraîchira pas la fièvre avant le quatrième jour, et on ne fera pas boire d'évacuant tant que le corps est turgescent; car alors il n'y a que des évacuations insignifiantes, attendu la turgescence générale ; mais quand le corps est atténué, on administre le médicament, et il opère. Dans la fièvre il ne faut ni donner des aliments ni procurer des évacuations avec des potages; on fera prendre en boisson, chauds et en aussi grande abondance que possible, de l'eau, du mélicrat, du vinaigre coupé d'eau ; en effet la boisson, si elle n'est pas froide, entrant et demeurant chaude, débarrasse le corps malade soit par l'urine soit par la transpiration ; le corps, étant ainsi partout ouvert, perspirable et mis en mouvement, fera ce qui est convenable. Si, le corps étant atténué, la fièvre brûle, c'est signe qu'elle n'est pas produite par la phlegmasie (*c'est-à-dire l'abondance des sucs*, voy. p. 290, note 15) ; si elle ne cesse pas, nourrissez et mettez le corps en phlegmasie ; si même de la sorte le mal ne cède pas, il est évident qu'il ne fallait pas produire la fièvre. Dans ce cas on fera boire un évacuant qui évacuera par la voie que la fièvre tient particulièrement, soit le haut, soit le bas ; si c'est en haut, un vomitif, si c'est en bas, un purgatif. Non seulement les personnes faibles ne doivent pas moins que les personnes fortes boire un évacuant, mais encore on le donnera semblable ou avec cette seule mo-

μὲν ἄνω, ἄνω, ἢν δὲ κάτω, κάτω. Οὐδὲν δ' ἧσσον δεῖ τοὺς [1] ἀσθενέας τῶν ἰσχυρῶν φάρμακον πιπίσκειν, ἀλλ' ὁμοίως [2] ᾗ μοῦνον οὕτω, τοῖσι μὲν ἰσχυροῖς ἰσχυρὸν, τοῖσι δ' ἀσθενέσιν ἀσθενές. Τὰς δὲ πυρώσιας ποτοῖσι καὶ ῥοφήμασιν, [3] ὥστε τὸν πυρετὸν ψυκτηρίῳ φαρμάκῳ ἐκλύειν, [4] καμμάρῳ ἢ ἄλλῳ τινὶ τοιούτῳ· καὶ ἐπὴν [5] μὴ λύσῃς τῷ ψυκτηρίῳ, θερμαντηρίοισι χρῶ ἑξῆς· ἐπὴν δὲ μὴ παύηται, ψυκτηρίοισι πάλιν χρῆσθαι.

28. [6] Ἴκτερον ὧδε χρὴ ἰῆσθαι· ἐπὴν παραλάβῃς, τρέφε, καὶ λουτροῖσι καὶ πιαντηρίοισι καὶ ποτοῖσι καὶ σιτίοισι καθυγραίνειν [7] τρεῖς ἢ τέσσαρας ἡμέρας· ἐπὴν δ' ὑγρανθῇ τὸ σῶμα, καθαίρειν καὶ ξηραίνειν τὸ σῶμα, λιπαρά τε ἐξαίφνης ἐξαρύσαι, πάντη προσφέρων φάρμακον [8] ᾗ δυνατὸν ὑγρότητα ἐξάγειν· πρὸς [9] δὲ τὴν κεφαλὴν καθαρτηρίῳ ἀσθενεῖ· καὶ οὐρητικὰ πιπίσκειν· καὶ [10] πρὸ τῶν σιτίων τοῦτον τὸν χρόνον, [11] ὃν καθαίρεις τὴν τεταραγμένην ὑγρότητα, [12] κατάποτον δίδου, ὡς μὴ τρέφηται ἀπὸ τούτου τοῦ χρόνου τὸ σῶμα· ὅταν [13] δὲ

[1] Ἀσθενέοντας (ἀσθενέας A) τῶν ἰσχυρῶν φαρμάκων vulg. – ἀσθενέας de A m'a mis sur la voie de la correction, qui est évidente. — [2] ἣν A. – μόνον C. – ἰσχυροῖσιν Lind., Mack. — [3] ὥστε A. – ὥσπερ vulg. — [4] Érot. Gl., p. 212 : καμμάρῳ, αὕτη ἡ λέξις τῶν ἅπαξ εἰρημένων ἐστὶ, περιέχουσα οὕτως· πυρίας μὲν τοῖσι πόνοισι καὶ ῥοφήμασιν, ὡς τὸν πυρετὸν ψυκτηρίῳ φαρμάκῳ ἐκλύειν ἢ καμμόρῳ ἢ ἄλλῳ τοιούτῳ· καὶ ἐπὴν μὴ λύσῃς τῷ ψυκτηρίῳ φαρμάκῳ, θερμαντηρίῳ χρῶ. Ζεῦξις μὲν οὖν ἐν τῷ δευτέρῳ τῶν ἐξηγητικῶν (τοῦτο δὲ τὸ βιβλίον) φάρμακόν τί φησιν οὕτω καλούμενον ψυκτικόν. Διοσκουρίδης δὲ ἐν τῷ ε τῶν ὑλικῶν, φησὶ τὸ ἀκόνιτον εἰρῆσθαι ὑπό τινων κράμμαρον, ὡς θηλύφονον. Λύκος δὲ ὁ Νεαπολίτης ἐν τῷ δευτέρῳ τοῦδε τοῦ συγγράμματος ἐξηγητικῷ, διὰ τοῦ ἑνὸς μ φησὶ γράφεσθαι τὴν λέξιν, ὡς εἶναι καμάρῳ· ὅ ἐστιν ἀλειπτηρίῳ· ἐσχηματισμένου τοῦ λεξειδίου ἀπὸ τῆς κατὰ τὸ πλεῖστον καμαρωτοῦ σκευασίας. Ὑποτίθεται οὖν Ἱπποκράτης λέγων, ἐὰν μὴ, τὰ ψύχοντα προσάγειν. Ἐφ' ἱδρῶτι δὲ παραλαμβάνει Στράττιν ἐν κυνηγοῖς λέγοντα. Διόδωρος ὁ γραμματικὸς καὶ Ζήνων ὁ Ἡροφίλειος τὸ κάμορον, κάμμορον ἢ κάμαρον φασὶ καλεῖν τὸ κώνειον τοὺς ἐν Ἰταλίᾳ Δωριέας, οἷον κακόμορόν τι ὄν. Ἄμεινον δὲ οἶμαι ἀναγεγραφέναι τοὺς περὶ τὸν Ζεῦξιν, εἶτα καὶ Ζήνωνα. Εἰκὸς γὰρ, τὸ κάμμορον φάρμακόν τι ψυκτικὸν εἶναι, ἢ τάχα τὸ κωνεῖον. Καὶ γὰρ τοῦτο τῶν ψυχροτάτων ἐστὶ καταπλασμάτων. Ὁ γὰρ Λύκος τέλεον πεπλάνηται, τοῦ Ἱπποκράτους ὡς εἶδος τῶν ψυχόντων τὸ κάμμορον εἰπόντος. Προθεὶς γὰρ καὶ τὰς κοιλίας καὶ τὰ ῥοφήματα, ἐπήνεγκεν, ὡς τὸν πυρετὸν ψυκτηρίῳ φαρμάκῳ ἐκλύειν, ἢ καμμόρῳ, ἢ ἄλλῳ τοιούτῳ, ὡς τοῦ καμμόρου ἐν τοῖς ψυκτικοῖς ὄντος. Ὁ γὰρ συνδεσμὸς οὐκ ἄνευ διαζευκτικοῦ κεῖται. Προθεὶς γὰρ τὸ ψυκτήριον ἢ καμμόρῳ πέρας, οὐ παύεται, ἀλλ' ἐπιφέρει καὶ ἐπὴν μὴ λύσῃς τῷ ψυκτηρίῳ φαρμάκῳ, θερμαντηρίῳ χρῶ. Ἔδει γὰρ, εἰ τὸ κάμμορον ἔλεγεν, ἐπενεγκεῖν, οἷον καμμόρῳ. Τίνα δὲ λόγον ἔχει ἐπὶ πυ

dification qu'il sera fort pour les forts et faible pour les faibles. Les échauffements seront traités par les boissons et les potages, de manière à résoudre la fièvre par un médicament rafraîchissant, le cammaron (*doronicum pardalianches*) (*voy. note* 4), ou tout autre semblable ; si les rafraîchissants ne réussissent pas, usez, aussitôt après, des échauffants ; puis, le mal ne cessant pas encore, revenez aux rafraîchissants.

28. (*De l'ictère.*) L'ictère doit être traité ainsi : le malade étant remis à vos soins, alimentez-le, et humectez-le pendant trois ou quatre jours avec des bains et des substances incrassantes soit boissons soit aliments ; le corps étant humecté, évacuez et desséchez ; faites sortir aussitôt les humeurs grasses, administrant de tous côtés le remède qui peut chasser l'humide ; à la tête appliquez un purgatif faible (*errhin*) ; faites boire des diurétiques ; avant les aliments, pendant le temps que vous expulsez l'humidité mise en mouvement, donnez une pilule (*purgative*), afin que, à partir de là, le corps ne soit pas nourri. Quand l'atténuation s'opère, purifiez avec des bains : prenez la racine du concombre sauvage (*momor-*

ρετῶν ἀλειπτηρίας παραλαβεῖν αὐτό; τῆς Λύκου φρενὸς ἔργον εἶπεν. Cette glose a plusieurs endroits altérés. Gal. Gloss. : κάμμορον, τό τε τῇ σμικρᾷ καρίδι ἐοικὸς ζῶον, καὶ ἀπὸ τῆς πρὸς τοῦτο τῶν ῥιζῶν ὁμοιότητος, τὸ ἀκόνιτον· ἀλλὰ οὐδέτερον αὐτῶν ἀκοῦσαι δυνατὸν, ἐν τῷ Περὶ τόπων τῶν κατὰ ἄνθρωπον· καυσομένων, παραλαμβανομένου τοῦ καμμόρου. Ὅθεν καὶ Ἐρωτιανὸς οὐ μόνον αὐτὸ τὸ ζῶον κάμμορον, ἀλλὰ καὶ τὸ περικείμενον αὐτῷ βρύον, οὕτως ὀνομάζεσθαί φησι. Ζήνων δὲ ὁ Ἡροφίλειος τὸ κώνειον· Ζεῦξις δὲ, φάρμακον ψυκτικόν. Le κώνειον est le *conium maculatum*. D'après M. Fraas, Synopsis plantarum floræ classicæ, p. 213, le κάμμαρον pourrait être le doronicum pardalianches, dont la racine est réfrigérante. — [5] ναυτιῶτο vulg. - λύσης A. - μὴ λύσης Érot. in Gl. - Je pense qu'il faut prendre la leçon fournie par Érotien. — [6] θεραπεία ἰκτέρου in tit. A. - ἰῆσθαι A. - ἰᾶσθαι vulg. - πιαντηρίοισι A, Lind., Mack. - πιαντηρίοις vulg. — [7] ἢ τρεῖς A. - ἐξαρῦσαι AC. - πάντη τε vulg. - τε om. A. - πρόσφακον (sic) pro προσφέρων φάρμ. A. — [8] εἰ (ἢ, al. manu εἰ A) δυνατὸν ἢ (ἢ om. C) ὑγρότητα vulg. — [9] τε pro δὲ A. — [10] πρὸς C. — [11] ἣν (ἣν om. A) καθάρης (καθαίρης A) vulg. - Je pense qu'il faut lire ὃν au lieu de ἥν. Dans A, la finale ον de χρόνον aura fait sauter ὅν ; et dans vulg. quelque correcteur aura remplacé ὃν par ἥν. - τεταγμένην A. — [12] κατὰ ποτὸν vulg. - καὶ ἄποτον C. - κατάποτον Lind. - τρέπηται A. — [13] δ' AC, Ald. - κάθαιρε A. - καθαίρειν vulg. - χοληγὰ A. - χόλεια C.

ἰσχναίνηται, καὶ λουτροῖσι κάθαιρε· τοῦ δὲ σικύου τοῦ ἀγρίου τὴν ῥίζαν κόψας, ἐς ὕδωρ ἐμβαλὼν, ἀπὸ τούτου λοῦε· χοληγαγὰ δὲ φάρμακα [1] μὴ πίπισκε, ὡς μὴ ταράσσῃ μᾶλλον τὸ σῶμα τοῦτον· ἐπὴν δὲ [2] ξηρὸν ᾖ τὸ τεταραγμένον, τρέφε, μηδενὶ ὑποχωρητικῷ φαρμάκῳ, [3] μηδὲ διουρητικῷ, ἀλλ' οἴνῳ οἰνώδει καὶ ἄσσα ἐρυθρότερον ποιέει τὸν ἄνθρωπον, τούτοισιν· ἢν δὲ χλωρὸς ᾖ, πάλιν ἐξαρύσαι, ξηραίνειν δὲ μηδαμᾶ, ὡς μὴ παγῇ χλωρὸς ἐών.

29. [4] Θηρίον ἐπέρχεται ἐπὶ τὸ σῶμα διὰ τόδε· ἐπὴν [5] φλεγμαίνῃ ἡ σὰρξ ἡ πέριξ, καὶ οἱ κρημνοὶ μεγάλοι ἔωσι τοῦ ἕλκεος, καὶ τὸ ἕλκος ὑγρὸν, καὶ ἐπὶ τοῦ ἕλκεος ἐξηρασμένος ἐπῇ ἰχὼρ, [6] ἢ τὸ ἕλκος συμπεπηγὸς ᾖ [7] ἢ ξυνσεσηπὸς, ὁ ἰχὼρ ὁ ἀπὸ τοῦ ἕλκεος [8] ἀποῤῥέων κωλύεται ἔξω χωρέειν ὑπὸ τοῦ ἐπιπεπηγότος [9] ἐπὶ τοῦ ἕλκεος πρὸς τὴν σάρκα· ἡ δὲ σὰρξ ὑποδέχεται, ὥστε μετέωρός [10] γ' ἐοῦσα αὐτὴ ὑπὸ φλεγμασίης, καὶ ὅταν ἀφίκηται ὁ ἰχὼρ [11] ὑποῤῥέων, σήπει καὶ μετεωρίζει. [12] Τοῦτον φαρμάκοισιν ὑγραίνοντας αὐτὸ τὸ ἕλκος χρίειν, ὡς ὑγραινομένου ἔξω τὸ ῥεῦμα ῥέῃ ἐκ τοῦ ἕλκεος, καὶ μὴ ὑπὸ τὴν σάρκα, καὶ τὰ κατάῤῥοα τὸν ἕλκεος [13] ψύχουσι φαρμάκοισιν, ὡς [14] χειμιοῦσα συμπιλῆται ἡ σὰρξ καὶ μὴ διαῤῥαγεῖσα ἀντεπιῤῥέῃ· καὶ τἄλλα δὲ ἕλκεα ψύχουσι περιχρίειν, καὶ ἐπ' αὐτὰ τὰ ὑγραίνοντα ἐπιτιθέναι.

30. [15] Κύναγχος ἀπὸ αἵματος γίνεται, ὅταν τὸ αἷμα παγῇ τὸ ἐν τῇσι φλεψὶ τῇσιν ἐν τῷ τραχήλῳ· [16] τούτων ἀπὸ τῶν ἐν τοῖσι γυίοισ φλεβῶν αἷμα ἀφαιρέειν, καὶ ἅμα κάτω ὑπεξάγειν, ὡς τὸ τὴν νοῦσον παρέχον [17] τοῦτο κατασπασθῇ· καὶ γλῶσσαν, ὁπόταν ἕλκεα μεγάλα σχῇ, ὡσαύτως εὐτρεπιστέον.

[1] Μὴ om. A. – τοῦτο Mack. – δὲ om. Lind. — [2] ξηνήνης A. – Sans doute pour ξηρήνης. — [3] μηδὲ δ. om. C. – ἐρυθρώτατον ποιεῖ A. – ἐξαρύσαι A, Lind – ἐξαρῦσαι vulg. – μηδαμῶς sine ὡς A. — [4] Gal. Gloss. : θηρίον, τήν τε ἕλμινθα καὶ τὸ ἄγριον ἕλκος, ὡς ἐν τῷ Περὶ τόπων τῶν κατὰ ἄνθρωπον· θηρίον ἐπ τὸ σῶμα ἐπέρχεται διὰ τόδε· καὶ ὁπόταν ἀφίκηται ὁ ἰχὼρ ἀπορέων, σήπε καὶ μετεωρίζει. — [5] φλεγμήνη A. – ἡ πέριξ om. A. – ἐῶσι CE, Ald. — [6] ἢ om A. — [7] ἢ A. – ἢ om. vulg. – ξυνσεσηπὼς vulg. – ξύνεστιν εἰ πῶς pro ξυνσ. C — [8] ἀποῤῥέων.... ἕλκεος om. A. — [9] ὑπὸ vulg. – Il faut lire ἐπὶ comme plu haut. — [10] γ' A. – γ' om. vulg. – αὐτὴ A. – αὐτὴ om. vulg. – ὁπόταν L. — [11] ἀπο ρέων L. – ἀποῤῥέων Lind. – σήπη καὶ μετεωρίζη A. — [12] τοῦτο A. – χρείειν C — [13] ψυχροῖσι φαρμάκοισι περιχρίειν K', Lind., Mack. — [14] χιμιοῦσα, al manu χρὴ μὴ ἰοῦσα A. – συμπιλῆται A, Lind., Mack. – συμπέληται vulg. – δ' AC. – ψυχροῖσι Lind., Mack. – περιχρείειν C. — [15] περὶ κυνάγχης in tit

dica elaterium L.), pilez-la, jettez-la dans l'eau, et préparez un bain de cette façon. Ne faites pas boire des cholagognes, afin de ne pas troubler le corps davantage. Quand le corps troublé est desséché, nourrissez le malade sans administrer ni purgatif ni diurétique, mais en lui donnant un vin généreux et tout ce qui rend le corps plus rouge. Si le malade est jaune, il faut de nouveau évacuer, sans dessécher aucunement, afin qu'il n'y ait pas coagulation le corps étant jaune.

47. [1]Τὰ γυναικεῖα νοσεύματα καλεύμενα· αἱ ὑστέραι πάντων τῶν νοσημάτων αἴτιαί εἰσιν· αὗται γὰρ ὅπη ἂν ἐκ τῆς [2]φύσιος μετακινηθέωσι, νούσους παρέχουσιν, ἤν τε προέλθωσιν, ἤν τε παραχωρήσωσιν. Καὶ ὅταν μὲν μὴ βάλλουσαι τὸ στόμα αἱ μῆτραι καὶ μὴ ψαύουσαι τῶν χρημνῶν μετακεκινημέναι [3]ἔωσιν ἔξω, σμικροτάτη νοῦσός ἐστιν· ἐπεὶ δὲ προκινηθέωσιν ἐς τὸ ἔμπροσθεν καὶ ἐμβάλλωσι τὸ στόμα ἐς τὸν χρημνὸν, πρῶτον μὲν ψαύσασα πόνον παρέσχεν, εἶτα ἀποφραχθεῖσα ἡ μήτρη καὶ ἐπιπωμασθεῖσα ὑπὸ τῆς [4]ἐμβλήσεως τῆς ἐς τὸν χρημνὸν, οὐ γίνεται ῥόος τὰ καταμήνια καλεύμενα· τοῦτο [5]δὲ συνιστάμενον οἶδός τε καὶ ὀδύνην παρέχει. Καὶ ἢν μὲν κάτω κατελθοῦσα καὶ ἀποστραφεῖσα ἐμβάλλῃ ἐς τὸν βουβῶνα, ὀδύνην παρέξει· ἢν [6]δὲ ἄνω ἐπαναχωρήσασα ἀποστραφῇ καὶ ἀποφραχθῇ, καὶ οὕτω διὰ τὴν [7]ἀραιότητα νοῦσον παρέχει· ὁπόταν δὲ διὰ τοῦτο νοσέῃ, ἐς τὰ ἰσχία καὶ τὴν κεφαλὴν ὀδύνην ποιέει. Ὁπόταν δὲ αἱ μῆτραι [8]πρησθεῖσαι συνοιδήσωσιν, οὐ ῥεῖ οὐδὲν, καὶ πλέαι γίνονται· ἐπὴν δὲ πλέαι γίνωνται, [9]ψαύουσι τῶν ἰσχίων· [10]ἐπὴν δὲ πλησθεῖσαι αἱ μῆτραι ὑγρότητος διευρυνόμεναι οὐ χωρέωνται, ψαύωσι δὲ τῶν ἰσχίων, ὀδύνας παρέχουσι καὶ ἐς τὰ ἰσχία καὶ [11]ἐς τὸν βουβῶνα, καὶ οἷον σφαῖραι ἐν τῇ γαστρὶ ὑποτρέχουσι, καὶ τὴν κεφαλὴν πονέουσι, τοτὲ μὲν ἐς τὸ ἕτερον μέρος, τοτὲ δὲ ὅλην, οἵη γίνεται καὶ [12]ἡ νοῦσος. Ὧδε δὴ ταῦτα εὐτρεπιστέον· ἢν μὲν προέλθῃ μοῦνον καὶ ᾖ διαχρίειν, χρῶ ᾧ

[1] Linden a mis ce morceau en tête du II[e] livre *Des Maladies des femmes.* —[2] φύσεως C. – προσέλθωσιν C. —[3] ἐῶσιν CE, Ald. – Érot., p. 234 : κρήμνη, τὰ χείλη τοῦ γυναικείου αἰδοίου. Gal. Gloss.: κρημνοὶ, τὰ πτερυγώματα τοῦ γυναικείου αἰδοίου. —[4] ἐμβλήσιος Lind. – καλεύμενα Lind. – καλ. om. vulg. – Cette addition est bonne; voy. plus loin, p. 346, l. 10. —[5] Post δὲ addit οὐ Ald. – ξυν. Lind. – ἐμβάλλει C. —[6] δ' C. —[7] On a proposé de lire στενότητα; mais plus on remonte dans l'antiquité, plus on trouve le sens de ἀραιὸς indécis (voy. ce mot dans le Dict. de Schneider), et se prêtant à des interprétations diverses. Il n'y a donc rien à changer. Voy. d'ailleurs la glose d'Érotien où parmi les significations de ἀραιὰ il indique πυκνὰ καὶ στενά. — [8] πλησθεῖσαι vulg. – Il faut lire πρησθεῖσαι. Voy. Gal. Gloss.: πρῆσμα, ἐμφύσημα, καὶ πρήσιος, τῆς ἐμφυσήσεως, καὶ πρηστικώτατον, τὸ ἐμφυσητικώτατον. Voy. Hesych.: πρῆσαι, φυσῆσαι. Voy. enfin de Natura muliebri : ἢν αἱ μῆτραι φλεγμήνασαι πλησθῶσι (lisez πρησθῶσι), φῦσα ἐγγίνεται; et plus loin : ἢν πρισθῶσιν (lisez πρησθῶσιν) αἱ μῆτραι, ἥ τε γα-

fortune? Si en effet on avait quelque succès, ce succès serait sans conséquence, vu que celui qui ne fait pas bien échouerait en manquant aux autres conditions requises.

47. (*Maladies de femme, c'est-à-dire divers déplacements de l'utérus.*) Maladies appelées de femme. La matrice est la cause de toutes les maladies ; car, de quelque façon qu'elle se déplace hors de sa position naturelle, soit qu'elle vienne en avant, soit qu'elle se retire, elle rend malade. Quand la matrice est déplacée en dehors sans porter son orifice sur les lèvres du vagin et sans y toucher, la maladie est très-petite. Mais si, portée en avant, elle applique son orifice sur les lèvres, d'abord ce contact cause de la douleur ; puis, la matrice étant interceptée et obstruée par cette application de l'orifice sur les lèvres, le flux appelé menstrues ne se produit pas. Ce flux, retenu, détermine gonflement et souffrance. Si, descendant et déviée, elle s'applique à l'aine, des douleurs se font sentir. Si, se portant en haut, elle est déviée et interceptée, de cette façon aussi elle engendre une maladie par le resserrement. Quand la femme est malade de la sorte, il y a douleur aux hanches et à la tête (Épid. VI, I, 1, t. V, p. 266). La matrice devenue emphysémateuse se gonfle, rien ne s'en écoule, et elle se remplit ; étant remplie, elle touche les hanches. Quand la matrice, pleine de liquide et élargie, ne donne plus issue au flux et qu'elle touche les hanches, alors il survient des douleurs et aux hanches et aux aines ; des espèces de boules courent dans le ventre, et la femme a mal à la tête tantôt d'un côté, tantôt des deux, suivant la condition de la maladie. Il faut traiter ainsi ces accidents : si la matrice

στὴρ αἴρεται καὶ φυσᾶται. Le mot en question a évidemment le sens de φυσᾷν ; il ne peut donc être πλησθεῖσαι, lequel d'ailleurs ferait ici double emploi avec πλέαι, qui vient ensuite. — [9] ψαύωσι δὲ Lind. - δὲ τῶν vulg. - δὲ om. C. - ἰσχύων C. — [10] ἐπὴν.... ἰσχίων C. - ἐπὴν.... ἰσχίων om. vulg. - J'ai admis cette phrase, changeant seulement ψαύουσι, qu'a C, en ψαύωσι. — [11] ἐς Lind. - ἐς om. vulg. - πονέουσι Foes in not., Lind. - ποιέουσι vulg. — [12] οἱ Ald. - διαχρείειν C. - μυσεωτῷ vulg. - μυσσωτῷ L, Lind.

τινι βούλει τῶν κακόδμων, ἢ κέδρῳ, ἢ μυσσωτῷ, ἢ ἄλλῳ τινὶ τῶν βαρυτέρων καὶ [1]κακὸν ὀζομένων, καὶ κάπνιζε, καὶ μὴ πυρία, μηδὲ σιτίῳ μηδὲ πότῳ οὐρητικῷ χρῶ τούτου τοῦ χρόνου, μηδὲ λοῦε [2]θερμῷ. Ἢν δὲ ἀνακεχωρήκῃ καὶ μὴ ἀπεστραμμένη ᾖ, τοῖσιν εὐόδμοισι προσθετοῖσι χρῶ, ὅσα ἀναθερμαίνουσιν ἅμα· ταῦτα δὲ τοιάδε εἰσί· σμύρνῃ, ἢ μύρῳ, εἴθ' ἑνὶ ἄλλῳ εὐόδμῳ καὶ θερμαίνοντι ἅμα· τοιούτοισι προσθεταῖσι χρῶ· καὶ πυριᾷν οἴνῳ κάτωθεν, καὶ θερμῷ ὕδατι λούειν, καὶ διουρητικοῖσι χρῶ. Τὸ δὲ δῆλόν ἐστιν, ἢν μὴ [3]ἀποστραφῇ ἀνακεχωρηκυῖα, ῥεῦμα γίνεται· ἢν δὲ ἀπεστραμμένη ᾖ, οὐ γίνεται ῥόος τὰ καταμηνία καλεύμενα· τοῦτο τὸ νόσημα πυρίῃ πρῶτον τοιῇδε χρὴ ἰᾶσθαι, ἐς οἶνον ἐρινέα [4]ἐμβάλλοντα, θερμαίνοντα τοῦτον, περιθέντα σικυωνίην περὶ τὸ στόμα τοῦ τεύχεος, ἐν ᾧ ἂν θερμαίνηται, ὧδε ποιῆσαι· σικυωνίην μέσην διαταμὼν, ἐκκενώσας, τὸ ἄκρον ἀποταμὼν σμικρὸν, ὡς ἐπ' ἀσκίων τοῦτο περιπωμάσαι, ὅπως ἂν ἡ ὀδμὴ διὰ τοῦ στενοῦ ἰεῖσα πρὸς τὴν μήτρην ἀφίκηται· καὶ θερμῷ ὕδατι αἰονᾷν, καὶ φαρμάκοισι θερμαίνουσι χρῆσθαι προσθετοῖσι. Θερμαίνοντα δ' ἐστὶ τὰ ἄγοντα τῶν πρόσθεν, τὰ δὲ τοιάδε, βάλβιτον, χολὴ βοὸς, σμύρνα, [5]στυπτηρίη, χαλβάνη, καὶ ἄλλο ὃ τοιοῦτόν ἐστι, τούτων ὡς πλείστοισι, καὶ ὑπεξάγειν ἐλατηρίοισι φαρμάκοισι κάτω ὅσα ἔμετον [6]οὐ ποιέουσιν, ἀσθενέουσιν, ὅπως μὴ ἰνηθμὸς γένηται ἐκ τῆς ὑπερινήσιος. Τὰ δὲ προσθετὰ ὧδε χρὴ ποιέειν, ἢν βούλῃ ἰσχυρὰ ποιέειν· μέλι ἡμίεφθον ποιέων, [7]ἐμβαλέων γεγραμμένων προσθετῶν τῶν ἄγειν ποιούντων, καὶ ἐπὴν ἐμβάλλῃς, ποίησον ὥσπερ τὰς βαλάνους τὰς πρὸς τὴν ἕδρην προστιθεμένας, μακρὰς δὲ [8]ποίει καὶ λεπτὰς ταύτας· τὴν δὲ γυναῖκα ὑπτίην κατακλίνας, [9]ἄνω

[1] Κακῶν C. — [2] Post θ. addit Lind. ταῦτα δὲ τοιάδε εἰσί. – δ' C. – ἀνακεχωρήκει vulg. – ἀνακεχωρήκοι Lind. — [3] ἀποστραφῇ C, Lind. – ἀποστροφῇ vulg. – δ' CE, Ald. — [4] ἐμβάλλοντος C. – [καὶ] θερμ. Lind. – τεύχους C. — [5] στηπτ. C. – ἄλλον sine ὃ C. — [6] οὐ Lind. – οὐ om. vulg. – Cette négation me paraît indispensable. – ἠνιθμὸς C, Ald. – ὑπερηνίσηος C. – ὑπερηνίσιος Ald. — [7] ἐμβαλλέων vulg. – ἐμβαλέων C. – ἔμβαλε τῶν γεγραμμ. Lind. – Cette correction de Lind. est peut-être fort juste; cependant il n'est pas sûr que la forme ἐμβαλέων pour ἐμβαλὼν ne doive pas être conservée. En effet je trouve ὑπερβαλέειν, ἐμβαλέειν, t. V, p. 92, note 16, p. 116, note 13, p. 146, note 6, dans vulg. avec la forme ordinaire donnée par quelques mss., et περιβαλλέειν, p. 161, note 28, en variante. Il est donc fort possible qu'il y ait une forme de ce genre dans les écrits hippocratiques. — [8] ποίει C. – ποιέει vulg. – ποιέειν Lind. – καὶ [οὐ] λεπτὰς Lind. — [9] [καὶ] ἄνω Lind.

ne fait que s'avancer et s'il y a lieu à onction, employez ce que vous voudrez parmi les substances de mauvaise odeur, ou bien du cédros (*juniperus oxycedrus*, d'après M. Dierbach), soit du myssoton (*sorte de sauce où il entrait de l'ail*), soit toute autre chose d'odeur forte ou fétide; faites des fumigations; mais point de bain de vapeur, point d'aliment ou de boisson diurétique pendant ce temps, point de bain chaud. Si la matrice est remontée sans être déviée, employez en pessaires les aromatiques qui échauffent en même temps. Ce sont la myrrhe, un parfum ou toute autre substance à la fois aromatique et échauffante. Employez-les en pessaire; faites par le bas des fumigations avec la vapeur du vin; baignez dans l'eau chaude; administrez les diurétiques. Ceci est manifeste : si la matrice, se portant en haut, n'est pas déviée, le flux s'opère; mais, si elle est déviée, le flux nommé menstrues ne s'opère pas. Cette maladie doit être traitée d'abord avec le bain de vapeur que voici : on jette des figues sauvages dans du vin, on le fait chauffer, on met autour de l'orifice du vase où le vin s'échauffe une coloquinte; la coloquinte aura été coupée par le milieu et vidée, on en aura abattu la petite extrémité afin de l'appliquer comme on applique un couvercle sur les outres; l'odeur, traversant ce pertuis étroit, arrivera à la matrice. On fera des affusions d'eau chaude; on emploiera en pessaires les médicaments échauffants. Les échauffants sont ceux qui, parmi les précédents, sont emménagogues, à savoir : la bouze de vache, la bile de bœuf, la myrrhe, l'alun, le galbanum, et autres substances semblables; on les emploiera en quantité aussi grandes que possible. On évacuera par le bas à l'aide de médicaments évacuants qui ne provoquent pas le vomissement, on les donnera faibles afin que la purgation ne dégénère pas en superpurgation. On fera ainsi les pessaires, si on veut qu'ils soient forts : faites cuire à demi du miel, jettez-y celles, parmi les substances à pessaires écrites au livre, qui sont emménagogues; cela fait, disposez ces pessaires comme des suppositoires; mais qu'ils soient longs et minces. La femme sera couchée sur le

τοὺς πόδας ποιήσας τῆς κλίνης τοὺς πρὸς ποδῶν, [1] ἔπειτα πρόσθες, καὶ θέρμαινε ἢ ἐν ἀμίδι ἢ ἄλλῳ τινὶ, ἕως ἂν καταταχῇ· ἢν δὲ ἀσθενέστερον βούλῃ τὸ προσθετὸν προστιθέναι, ἐς ὀθόνιον [2] ἐνδέων. Καὶ ἢν ὑγρότητος ἔμπλεαι οὖσαι αἱ μῆτραι τὸ στόμα συνοιδήσωσιν καὶ ἀῤῥοίην παράσχωσι, ῥόον χρὴ ποιέοντα ἰᾶσθαι προσθετοῖσι φαρμάκοισι, καὶ πυριῶντα ὡς γέγραπται, οὕτω ποιεῦντα, ὥσπερ [3] κατὰ τὴν πρόσθεν ἀῤῥοίην· καὶ εἰ ἐς τὸ πρόσθεν προσχωρέουσα ἀποστραφῇ, ῥόον χρὴ ποιέειν ὥσπερ ἐπὶ τῆς πρότερον ἀῤῥοίης. Ὅταν δὲ ῥόος ᾖ λίην, [4] οὔτε θερμαίνειν χρὴ θερμῷ ὕδατι οὔτ' ἄλλῳ οὐδενὶ, οὔτε οὐρητικοῖσι χρῆσθαι οὔτε σιτίοισι διαχωρητικοῖσι· τῆς γε κλίνης τὰ πρὸς ποδῶν ὑψηλότερα εἶναι, ὡς μὴ ἡ κατάκλισις εὔροος ᾖ· καὶ προσθετοῖσιν ἅμα τοῖς στύφουσι χρῶ. Οἱ δὲ ῥόοι, ὁπόταν μὲν εὐθέως ἴσχηται ἡ κάθαρσις, εὐθέως [5] ὑφαίμονες γίνονται, ὁπόταν δ' ἧσσον [6] ἴῃ, πυώδεες· καὶ τῇσι νεωτέρῃσιν ὕφαιμα μᾶλλον, αἱ δὲ πρεσβύτεραι [7] μυξώδεα μᾶλλον ἔχουσι τὰ καταμήνια καλεύμενα.

[1] Ἔπειτα πρόσθες, καὶ θερμαίνει ἐν ἀκηδίῃ ἄλλῳ τινὶ, ἕως vulg. – ἔπειτα πρόσθες ἐν ῥάκει δέων ἢ ἄλλῳ τινί, καὶ θερμαίνειν, ἕως Lind. – ἐν ῥάκει δέων ἢ ἄλλῳ pour ἐν ἀκηδίῃ ἄλλῳ est une conjecture de Cornarius, puis de Foes dans ses notes, conjecture adoptée par Lind. Le reste de la correction lui appartient. Quoique ἐν ῥάκει δέων soit une locution qui se rencontre souvent dans de pareilles formules pharmaceutiques, je la trouve bien éloignée de notre texte de vulg., et je lis θέρμαινε ἢ ἐν ἀμίδι ἢ ἄλλῳ. Ἀμίδι ἢ est, sauf le μ pour le κ, lettres que les copistes confondent souvent, la reproduction exacte, grâce à l'iotacisme, de ἀκηδίῃ. — [2] οὐ δέων pro ἐνδέων quædam exemplaria ap. Foes in notis. – ἐοῦσαι Lind. — [3] καὶ (δὲ pro καὶ C) vulg. – κατὰ pro καὶ Foes in not., Lind. – ἀροίην C. – προχωρέουσα C. – ἀρροιῆς C, Ald. — [4] οὕτω C, Ald. — [5] ὑφαίμονες C, Ald. – ὑφαίμονος (ὑφ. om. Lind.) vulg. – ὑφαίμων n'est pas dans les dictionnaires. — [6] εἴη C. — [7] μυρώδεα C.

dos; on élevera les pieds du lit qui répondent aux pieds de la malade; puis on appliquera le pessaire, et on fera chauffer la partie soit sur un pot de chambre, soit sur tout autre ustensile, jusqu'à ce que le pessaire soit fondu; si l'on veut qu'il agisse plus faiblement, on l'appliquera enveloppé dans un linge. Si, la matrice étant pleine de liquide, l'orifice se tuméfie et cause l'aménorrhée, il faut procurer le retour des règles par des pessaires, par des bains de vapeur comme il a été écrit, agissant ainsi que pour l'aménorrhée précédente. Si la matrice, se portant en avant, est déviée, il faut procurer le retour des règles comme pour l'aménorrhée précédente. Y a-t-il métrorrhagie? on n'échauffera ni avec de l'eau chaude ni avec rien autre, on n'emploiera ni diurétiques ni aliments relâchants; dans le lit le bout du côté des pieds sera plus élevé, afin que le décubitus ne favorise pas le flux; et en même temps vous emploierez les pessaires astringents. Les écoulements, tout d'abord et dans leur force, sont sanguinolents; quand ils diminuent, ils deviennent purulents. Le flux nommé menstrues est plus sanguinolent chez les jeunes femmes, plus muqueux chez les femmes plus âgées.

FIN DU LIVRE DES LIEUX DANS L'HOMME.

ΠΕΡΙ ΙΕΡΗΣ ΝΟΥΣΟΥ.

DE LA MALADIE SACRÉE.

ARGUMENT.

Le traité *de la Maladie sacrée* est remarquable surtout par deux points de doctrine. Le premier, c'est que toutes les maladies sont de cause naturelle; l'auteur combat fortement ceux qui les attribuent à l'intervention divine; en cela il est d'accord avec l'auteur du traité *des Airs, des Eaux et des Lieux*, qui n'est pas moins explicite; voyez t. II, p. 77, § 22. Le second point est l'attribution de toute fonction intellectuelle et morale au cerveau, à l'exclusion de la poitrine. On sait qu'il a fallu arriver presque jusqu'à notre temps pour mettre cette doctrine hors de contestation.

BIBLIOGRAPHIE.

MANUSCRITS.

2255 = E, 2144 = F, 2141 = G, 2142 = H, 2140 = I, 2143 = J, 2145 = K, Cod. Serv. ap. Foes = L, 2332 = X, 2148 = Z, Cod. Cornar. ap. Mack = K', Cod. Samb. ap. Mack = P', Cod. Fevr. ap. Foes = Q', Cod. Vindobonensis n° IV = θ[1], Cod. Vaticanus ex

[1] Pour contrôler la collation de Mack, j'ai fait faire cette collation ainsi que celle du livre des Affections; voyez la note de la p. 139.

collatione Dietzii = ι, Cod. Mediolanensis ex collatione Dietzii = κ, Cod. Vindobonensis nº XXIV ex collatione Dietzii = λ, Cod. 4 Vaticanus, fragmentum, ex collatione Dietzii = μ[1].

COMMENTAIRE.

Prælectiones Vallisoletanæ in librum magni Hippocratis Coi de Morbo sacro, auctore D. Antonio Ponze Sancta Cruz, Matriti, 1631, in-fol.

[1] Les variantes des quatre mss. ι, κ, λ, μ, sont dues à Dietz. M. Ideler fils les a copiées; et M. Ideler père les a remises à M. le docteur Daremberg, qui, à son tour, a eu l'obligeance de me les communiquer.

ΠΕΡΙ ΙΕΡΗΣ ΝΟΥΣΟΥ[1].

1. Περὶ [2] μὲν τῆς ἱερῆς νούσου καλεομένης ὧδ' ἔχει· οὐδέν τί μοι δοκέει τῶν ἄλλων θειοτέρη εἶναι νούσων οὐδὲ ἱερωτέρη, ἀλλὰ φύσιν μὲν [3] ἔχει ἣν καὶ τὰ λοιπὰ νουσήματα, ὅθεν γίνεται. Φύσιν [4] δὲ αὐτῇ καὶ πρόφασιν οἱ ἄνθρωποι ἐνόμισαν θεῖόν τι πρῆγμα εἶναι ὑπὸ ἀπειρίης καὶ θαυμασιότητος, ὅτι οὐδὲν ἔοικεν ἑτέρῃσι νούσοισιν· καὶ κατὰ μὲν τὴν ἀπορίην αὐτοῖσι τοῦ μὴ γινώσκειν τὸ θεῖον [5] αὐτῇ διασώζεται, κατὰ δὲ τὴν εὐπορίην τοῦ τρόπου τῆς ἰήσιος ᾧ ἰῶνται, ἀπόλλυται, ὅτι καθαρμοῖσί τε ἰῶνται καὶ ἐπαοιδῇσιν. Εἰ δὲ διὰ τὸ θαυμάσιον θεῖον νομιεῖται, πολλὰ [6] τὰ ἱερὰ νουσήματα ἔσται καὶ οὐχὶ ἕν, ὡς ἐγὼ ἀποδείξω ἕτερα οὐδὲν ἧσσον ἐόντα θαυμάσια οὐδὲ τερατώδεα,

[1] **Νουσου θ. – νόσου vulg. – οὐ γνήσιον Ἱπποκράτους τοῦτο λέγει ὁ Γαληνὸς, ἀξιολόγου δέ τινος ἀνδρὸς καὶ κατὰ τὴν ἑρμηνείαν καὶ τὴν διάνοιαν· Ἱπποκράτους γὰρ δοκεῖ οὐδὲν ἔχειν οὔτε κατὰ τὸν τρόπον τῆς ἑρμηνείας οὔτε κατὰ τὸ ἀκριβὲς τῆς διανοίας E. — [2] μὲν om. EHIJKZθιχ, Ald., Frob., Dietz. – ἱρῆς Dietz. – Dietz, qui a suivi un ionisme systématique, a mis partout ἱρός. – νούσου θ, Lind., Mack. – νόσου vulg. – ὧδε θ, Dietz. – Dietz n'a nulle part admis l'apostrophe, mettant partout devant les voyelles ὧδε, ἀλλὰ, κατὰ, etc. Je note cela une fois pour toutes. — [3] ἔχειν Lind., Mack. – ἣν om. θι. – νοσ. θι. — [4] τε αὐτὴ θ. – τε αὐτὴν ι. – οἱ δ' ἄνθρωποι θι. – τι πρῆγμα θι. – τι πρῆγμα om. vulg. – Coray, Hipp. de Aer. Aquis, etc., t. II, p. 33, conjecture θείην; mais avec l'addition donnée par les mss. il n'y a rien à conjecturer. – ἑτέροισι sine νούσοισιν θι. – μὲν om. GIJKZ. – σχόλιον· θεῖον τινὲς φασὶ τὴν ἱερὰν νόσον· ταύτην γὰρ εἶναι θεόπεμπτον, ἱεράν τε λέγεσθαι ὡς θεῖαν οὖσαν. Ἕτεροι δὲ ὑπέλαβον τὴν δεισιδαιμονίην· ἐξεταστέον γάρ φησι ποταπῷ χρῆται τύπῳ ὁ νοσῶν· ἵνα εἰ μὲν ἰουδαῖός τις ᾖ, τὰ χοίρεια ἐπ' αὐτῷ παρατηρώμεθα· εἰ δ' αἰγύπτιος, τὰ προβάτια ἢ αἴγεια. Ἄλλοι δὲ θεῖον φασὶ τὸ ἐνθουσιαστικὸν πάθος· Βακχεῖος δὲ καὶ Καλλίμαχος, Φιλινός τε ὁ ταραντῖνος καὶ Ἡρακλείδης (lisez καὶ Ἡρ. ὁ ταραντῖνος) θεῖον ὑπέλαβον τὸ λοιμικὸν πάθος διὰ τοὺς λοιμοὺς ἐκ θεοῦ δοκεῖν εἶναι. Ὁ δὲ Ξενοφῶν ὁ Πραξαγόρου γνώριμος θεῖον ἔφη τὸ τῶν κρισίμων ἡμερῶν γένος· καθάπερ γάρ φησι τοὺς ἐν πελάγει χειμαζομένους οἱ διόσκουροι φανέντες σωτηρίαν ἐπιφέρουσι θεοὶ ὄντες, τοῦτο καὶ αἱ κρίσιμοι ἡμέραι γενόμεναι πολλάκις σωτηρίαν ἤνεγκαν. Γνωστέον οὖν ὅτι ὁ Ξενοφῶν ἁμαρτάνει, θεῖον φήσας τὴν κρίσιμον ἡμέραν. Εἰ γὰρ κατὰ τὸν Ἱπποκράτην πᾶσα ἡμέρα κρίσιμός ἐστι, διὰ τὸ ποτὲ μὲν τὰς ἁμαρτίας ὑπ' αὐτῆς ὡς κρισίμους ὁρίζεσθαι· πλειστάκις δὲ τὰς περιττὰς δεῆσαν ἐπὶ τῶν καμνόντων περὶ πᾶσαν ἡμέραν**

DE LA MALADIE SACRÉE.

1. (*La maladie sacrée ou épilepsie n'est pas plus sacrée que les autres maladies. Vigoureuse critique des théories qui rattachent cette affection à une intervention surnaturelle, et des pratiques magiques et superstitieuses par lesquelles des charlatans prétendent la guérir.*) Voici ce qu'il en est de la maladie dite sacrée : elle ne me paraît avoir rien de plus divin ni de plus sacré que les autres, mais la nature et la source en sont les mêmes que pour les autres maladies. Sans doute c'est grâce à l'inexpérience et au merveilleux qu'on en a regardé la nature et la cause comme quelque chose de divin ; en effet elle ne ressemble en rien aux autres affections. Mais si l'impuissance où l'on est de s'en faire une idée lui conserve un caractère divin, d'autre part ce caractère lui est enlevé par la facilité d'employer le traitement que les gens mettent en œuvre, trai-

σκέπτεσθαι. Πρὸς τούτοις τί δή ποτε πλειστάκις περὶ κρισίμων λαλήσας εἰς ἕνα μόνον τόπον θεῖον ὠνόμασε τὴν κρίσιμον ἡμέραν; καὶ οἱ τὴν ἐπιληψίαν θεῖον οἰόμενοι εἰρῆσθαι οὐκ ἀνέγνωσαν τὸν ἄνδρα. Ῥητῶς γὰρ ἐνθάδε μέμφεται τοὺς θεόπεμπτον ὀνομάζοντας τὸ πάθος, δι' ὧν φησιν· οὐδέν τί μοι τῶν ἄλλων νούσων δοκέει θειοτέρη εἶναι οὐδ' ἱερωτέρη, ἀλλὰ φύσιν ἔχει ἣν καὶ τὰ λοιπὰ νοσήματα. Οἵ τε τὴν δεισιδαιμονίαν οἰόμενοι εἰρῆσθαι σφόδρα εἰσὶν εὐήθεις· οὐ γὰρ ἔμελλεν Ἱπποκράτει περὶ προγνώσεως γράφοντι μεμνῆσθαι τῶν διὰ τὰς τροφὰς νοσούντων, ἀλλ' οὐδὲ τὰς μανίας, οὐδὲ τὸ ἐνθουσιαστικὸν πάθος. Τοὺς δὲ λέγοντας τὸν ἔρωτα θεῖον εἰρῆσθαι, πιθανῶς λέγειν καὶ εὐλόγως τὸν Ἱπποκράτην παρεγγυᾶν, ἵνα παρατηρῶμεν, μὴ ἄρα τὰ παρεπόμενα συμπτώματα δι' ἐρωτικήν τινα συμπάθειαν λέγεται E. – Voyez sur une partie de cette scholie, t. I, p. 75. — [5] αὐτῇ om. θιχ. – ἀπορίην pro εὐπορίην GIJZ, Ald. – ἰήσιος ἰῶνται· ἀπολύονται γὰρ ἢ καθαρμοῖσιν ἢ ἐπαοιδῇσιν (ἐπαοιδοῖσιν IJKZ, Ald.) vulg. – ἰήσιος ὠπῶνται ἀπόλλυται, ὅτι καθαρμοῖσί τε ἰῶνται καὶ ἐπαοιδῇσιν θ (ι, cum ἢ pro καί). – C'est, ce me semble, la bonne leçon, en lisant ᾧ ἰῶνται pour ὠπῶνται. Ωιωνται, écrit ainsi avec l'ι mis à côté au lieu d'être souscrit, a donné facilement ὠπῶνται. Au reste le texte de vulg. n'a qu'un semblant de sens. – πουλλὰ Dietz. – Dietz met partout πουλ au lieu de πολ dans ce mot. — [6] τὰ εἰρὰ (sic) νοσ. θχ. – τούτου εἵνεκεν pro καὶ οὐχὶ ἓν θι. – δεῖξο (sic) θι. – οὐδὲ τερατώδεα om. θ. – νόζει ἱρὰ pro νομίζει ἱερὰ θχ.

ἃ οὐδεὶς νομίζει ἱερὰ εἶναι. Τοῦτο μὲν [1]γὰρ οἱ πυρετοὶ οἱ ἀμφημερινοὶ καὶ οἱ τριταῖοι καὶ οἱ τεταρταῖοι οὐδὲν ἧσσόν μοι [2]δοκέουσιν ἱεροὶ εἶναι καὶ ὑπὸ θεοῦ γίνεσθαι ταύτης τῆς νούσου, [3]ὧν οὐ θαυμασίως γ' ἔχουσιν· τοῦτο δὲ [4]ὁρέω μαινομένους ἀνθρώπους καὶ παραφρονέοντας ἀπὸ μηδεμιῆς προφάσιος ἐμφανέος, καὶ πολλά τε καὶ ἄκαιρα ποιέοντας, ἔν τε τῷ ὕπνῳ οἶδα πολλοὺς οἰμώζοντας καὶ βοῶντας, τοὺς δὲ [5]πνιγομένους, τοὺς [6]δὲ καὶ ἀναΐσσοντάς τε καὶ φεύγοντας ἔξω καὶ παραφρονέοντας μέχρις ἂν ἐπέγρωνται, ἔπειτα δὲ [7]ὑγιέας ἐόντας καὶ φρονέοντας ὥσπερ [8]καὶ πρότερον, ἐόντας τ' αὐτέους ὠχρούς τε καὶ ἀσθενέας, καὶ ταῦτα οὐχ ἅπαξ, ἀλλὰ πολλάκις, ἄλλα τε πολλά ἐστι καὶ παντοδαπὰ [9]ὧν περὶ ἑκάστου λέγειν πουλὺς ἂν εἴη λόγος. Ἐμοὶ δὲ δοκέουσιν οἱ πρῶτοι τοῦτο τὸ νόσημα [10]ἀφιερώσαντες τοιοῦτοι εἶναι ἄνθρωποι οἷοι καὶ νῦν εἰσι μάγοι τε καὶ καθάρται καὶ ἀγύρται καὶ ἀλαζόνες, [11]ὁκόσοι δὴ προσποιέονται σφόδρα θεοσεβέες εἶναι καὶ πλέον τι εἰδέναι. Οὗτοι τοίνυν παραμπεχόμενοι καὶ προβαλλόμενοι τὸ θεῖον τῆς ἀμηχανίης [12]τοῦ μὴ ἴσχειν ὅ τι προσενέγκαντες ὠφελήσουσιν, [13]ὡς μὴ κατάδηλοι ἔωσιν οὐδὲν ἐπιστάμενοι, ἱερὸν ἐνόμισαν τοῦτο τὸ πάθος εἶναι, καὶ λόγους ἐπιλέξαντες [14]ἐπιτηδείους τὴν ἴησιν κατεστήσαντο ἐς τὸ ἀσφαλὲς σφίσιν αὐτοῖσι, καθαρμοὺς προσφέροντες καὶ [15]ἐπαοιδὰς, λουτρῶν τε ἀπέχεσθαι κελεύοντες καὶ ἐδεσμάτων πολλῶν καὶ ἀνεπιτηδείων ἀνθρώποισι νοσέουσιν

[1] Γὰρ om. θι.-ἀφημερινοὶ EGHIJKZ.-ἀμφιμερινοὶ K.—[2] δοκοῦσιν ιροι (sic) θ.-γίγν. Dietz.-Dietz met partout γιγν dans γίγνομαι et γιγνώσκω.—[3] ὧν οὐ θαυμασίως γ' ἔχουσι (Hθ, sine γ') ικ.-κἂν (κἢν Dietz) οὐ θαυμασίως ἔχωσι vulg.-ὧν κἂν οὐ θαυμασίως γ' ἔχωσι E.—[4] ὁρῶ θ.-ἀπ' οὐδεμιῆς Hθ ικ.-ἐμφανέως ι.-τε ἅμα vulg.-ἅμα om. EFHIZθικ.-ποιεῦντας θικ.—[5] καὶ πν. vulg.-καὶ om. θκ.—[6] δ' ἀΐσσοντας θκ.-μέχρι θκ.-ἐξεγειρέωνται vulg.-ἐξεγερέωνται FK.-ἐξεγεραίονται J.-ἐπέργωνται ικ.-ἐπέγρωνται θ.-ἐξεγρέωνται EHZ, Ald., Dietz.—[7] καὶ ὑγ. vulg.-καὶ om. EHθικ.—[8] καὶ πρότερον EHQ'θικ.-τὸ πρότερον sine καὶ vulg.-ἐωντας ταυτεους (sic) θ.-ἐόντας τε αὐτοὺς vulg.-οὐκ ἅπαξ Dietz.-Dietz remplace partout dans des cas semblables l'aspirée par la ténue.—[9] ὧν περὶ ἑκάστου EHP'Q'θικ, Lind., Mack.-ὧν ἕκαστον vulg.-πουλὺς ι, Dietz.-πολὺς vulg.-ἢ pro εἴη κ.-νούσημα ubique Lind., Mack, Dietz.—[10] ἱρώσαντες θι.-ἀπιερώσαντες Dietz.-Partout, en composition semblable, Dietz remplace l'aspirée par la ténue.-Ante τοιοῦτοι addunt αὐτοὶ EHP'Q'κ.—[11] οὗτοι δὲ καὶ pro ὁκόσοι δὴ θι.-δὴ om. (H, restit. al. manu) κ.—[12] τὸ vulg.-διὰ τὸ Dietz.-« διὰ conjeci intercidisse, dit Dietz. » Cette conjecture avait déjà été proposée par Coray ad Heliod., 2, p. 310; mais la bonne leçon est celle qui suit, donnée par des

tement qui consiste en purifications et en incantations. Veut-on la supposer divine à cause du merveilleux qu'elle présente? mais alors il y aura beaucoup de maladies sacrées et non une seule ; car je montrerai que d'autres maladies, que personne ne considère comme sacrées, ne sont ni moins merveilleuses ni moins effrayantes. En effet, d'un côté, les fièvres quotidiennes, tierces et quartes ne me paraissent aucunement moins sacrées ni moins dues à la divinité que cette maladie, et cependant personne ne s'en émerveille; d'un autre côté, je vois des hommes saisis de transport et de délire sans aucune cause manifeste faire une foule d'actes insensés; j'en vois beaucoup qui dans le sommeil poussent des gémissements et des cris, qui sont suffoqués, qui s'élancent, fuient au dehors et délirent jusqu'à ce qu'ils soient réveillés ; puis les voilà sains et raisonnables comme auparavant, restant néanmoins pâles et faibles, et cela, non pas une fois, mais plusieurs. Je pourrais citer encore des cas de ce genre nombreux et variés ; mais ce serait trop allonger le discours que d'entrer, pour chacun, dans le détail. Ceux qui, les premiers, ont sanctifié cette maladie, furent à mon avis ce que sont aujourd'hui les mages, les expiateurs, les charlatans, les imposteurs, tous gens qui prennent des semblants de piété et de science supérieure. Jetant donc la divinité comme un manteau et un prétexte qui abritassent leur impuissance à procurer chose qui fût utile, ces gens, afin que leur ignorance ne devînt pas manifeste, prétendirent que cette maladie était sacrée. A l'aide de raisonnements appropriés, ils arrangèrent un traitement où tout était sûr pour eux, prescrivant des expiations et des incantations, défendant les bains et

mss. – τοῦ (H, al. manu τῷ) θικ. – τῷ cod. Scaligeranus. – Je dois l'indication de ce ms. à des notes recueillies par Kühn, que M. le docteur Rosenbaum, qui veut bien s'intéresser à mes travaux sur Hippocrate, m'a communiquées. – ἔχειν θι. — [13] καὶ ὡς θι. – ἐῶσιν θ. – ιρον (sic) θ. — [14] ἐπιτηδίους θι. – ἐπιτηδέους ubique Dietz. – σφῖσιν θ. – αὐτοῖσι θι. – ἑωυτοῖσι vulg. — [15] ἐπαϊδὰς H. – λαμπρῶν pro λουτρῶν κ. – ἀπέχοντες sine κελεύοντες θι. – αἰδεσμάτων θι. – ἀνεπιτηδίων θ.

ἐσθίειν, θαλασσίων μὲν τρίγλης, [1]μελανούρου, κεστρέος, ἐγχέλυος (οὗτοι γὰρ οἱ ἰχθύες εἰσὶν ἐπικαιρότατοι), [2]κρεῶν δὲ αἰγείου καὶ ἐλάφων καὶ χοιρίων καὶ κυνὸς (ταῦτα γὰρ κρεῶν [3]ταρακτικώτατά ἐστι τῆς κοιλίης), ὀρνίθων δὲ ἀλεκτρυόνος καὶ τρυγόνος [4]καὶ ὠτίδος, ἔτι δὲ ὅσα νομίζεται ἰσχυρότατα εἶναι, λαχάνων δὲ μίνθης, σκορόδου καὶ κρομύου (δριμὺ γὰρ ἀσθενέοντι οὐδὲν ξυμφέρει), ἱμάτιον δὲ μέλαν μὴ ἔχειν (θανατῶδες γὰρ τὸ μέλαν), [5]μηδὲ ἐν αἰγείῳ κατακέεσθαι δέρματι μηδὲ φορέειν, [6]μηδὲ πόδα ἐπὶ ποδὶ ἔχειν, μηδὲ χεῖρα ἐπὶ χειρὶ (ταῦτα γὰρ πάντα κωλύματα εἶναι). Ταῦτα δὲ [7]πάντα τοῦ θείου εἵνεκεν προστιθέασιν, ὡς πλέον τι εἰδότες καὶ ἄλλας προφάσιας λέγοντες, ὅκως, εἰ μὲν ὑγιὴς γένοιτο, αὐτῶν ἡ δόξα εἴη καὶ ἡ δεξιότης, εἰ [8]δὲ ἀποθάνοι, ἐν ἀσφαλεῖ καθισταῖντο αὐτῶν αἱ ἀπολογίαι καὶ ἔχοιεν πρόφασιν ὡς [9]οὐκ αἴτιοί εἰσιν αὐτοὶ, ἀλλ' οἱ θεοί· οὔτε γὰρ φαγέειν οὔτε πιέειν ἔδοσαν φάρμακον οὐδὲν, οὔτε λουτροῖσι καθήψησαν, ὥστε δοκέειν [10]αἴτιον εἶναι. Ἐγὼ δὲ δοκέω Λιβύων τῶν τὴν μεσόγειον οἰκεόντων οὐδένα ὑγιαίνειν, [11]ὅτι ἐν αἰγείοισι δέρμασι κατακέονται καὶ κρέασιν αἰγείοισι χρῶνται, ἐπεὶ οὐκ ἔχουσιν οὔτε στρῶμα οὔτε ἱμάτιον οὔτε ὑπόδημα ὅ τι μὴ αἴγειόν ἐστιν· οὐ γάρ ἐστιν [12]αὐ-

[1]Καὶ μελανούρου vulg. – καὶ om. θι. – οἱ ἰχθύες om. (H, restit. al. manu) θικ. – ἐπικηρότατοι θι. — [2]κρέως Hκ. – κρεέων (bis) Dietz. – αἰγείων θι. – Post αἰγ. addunt καὶ τύρου αἰγείου θικ. – ἐλαφείου vulg. – ἐλαφείων H. – ἐλαφίων θ. – ἐλάφων ικ. – χοιρείων vulg. – χοιρίων θικ. — [3]τεραστικώτατα (E, gl. ταρακτικώτατα) FGHIJKZ, Ald. – τερατικώτατα ι. – ἐπὶ pro ἐστι FGIJKZ. – ἀλεκτόριδος θι. — [4]καὶ Eθι. – καὶ om. vulg. – ὀτίδος θι. – Gal. Gl. : ὀτίδος, τοῦ ὀρνέου, ὃ Ἀριστοτέλης ὠτίδα διὰ τοῦ ω καλεῖ, Ξενοφῶν δὲ ἐν τῷ πρώτῳ Κύρου ἀναβάσεως ὀτίδα διὰ τοῦ ο γράφει. – ἃ pro ἔτι δὲ ὅσα θι. – καὶ om. θ. – κρομμύου Hικ, Cod. Scalig., Lind., Mack. – κρομμύων θ. – συμφέρον Hι. – συμφέρειν θ. – τε μέλαν pro δὲ μέλαν θ. — [5]μηδὲν pro μηδὲ ἐν θι. – κατακεῖσθαι θ. — [6]πόδα ἐπὶ ποδὶ μὴ ἔχειν pro μηδὲ.... ἔχειν θι. – πόδια Cod. Scalig. – πάντα γὰρ ταῦτα θι. — [7]πάντα om. θ. – καὶ pro πάντα κ. – εἵνεκε F. – εἵνεκα θι. – λέγοντες θικ. – προλέγοντες vulg. – ὅπως θ. – ὑγιέες γένοιντο (θ, ὑγειέες) ι. — [8]δ' ἀποθάνοιεν θι. – ἀσφαλέϊ Dietz. – Dietz a mis partout cette forme pour les datifs singuliers. – ἀσφαλῆ κ. – ἀσφαλὲς (sine ἐν) καθισταῖτο αὐτῶν ἡ ἀπολογίη θι. – Dans H, une autre main a changé ἀποθάνοι, ἐν ἀσφαλεῖ en ἀποθάνοιεν, ἀσφαλεῖ. — [9]οὐδὲν EHP'Q'θικ. – οὐκέτι Cod. Mediceus ap. Mack. – αὐτοὶ om. θ. – οἱ θεοὶ pro αὐτοὶ ικ. – φαγεῖν οὔτε πιεῖν θ. — [10]αἴτιοι Lθικ. – αἴσιον Scalig., qui simul observat Erotianum videri legisse ἀντεόνθεον. – – Erot. Gl., p. 62 : ἀντεόνθεον, τὸν βλάβης ὑπονοούμενον ἔσεσθαι ἄνθρωπον. Ἀντίον δ' ἐκάλουν οἱ παλαιοὶ τὸν σώφρονα· ὡς καὶ ὁ Σοφοκλῆς ἐν Κλυ-

divers aliments peu convenables à des malades : en fait de poissons de mer, le mulet, le mélanurus, le muge, l'anguille (ces poissons sont en effet ceux qui incommodent le plus); en fait de viandes, celles de chèvre, de cerf, de cochon de lait, de chien (ces viandes sont en effet celles qui dérangent le plus le ventre); en fait d'oiseaux, le coq, la tourterelle, l'outarde, et, en général, tous les oiseaux dont la viande passe pour être très-substantielle; en fait de légumes verts, la menthe, l'ail, l'oignon (en effet ce qui est âcre ne convient pas à un malade); voulant qu'on ne porte pas un vêtement noir (le noir est mortel), qu'on ne couche pas sur une peau de chèvre et qu'on n'en porte pas, qu'on ne mette pas un pied sur l'autre, une main sur l'autre (tout cela forme autant d'empêchements). Ces observances, ils les imposent en vue du caractère divin du mal, se donnant l'air d'en savoir plus que les autres et alléguant diverses causes, afin que, si le malade guérit, la gloire en revienne à leur habileté, et que, s'il meurt, ils aient des apologies toutes prêtes, et puissent détourner d'eux la responsabilité du malheur et la jeter sur les dieux; car ni aliments qu'ils aient donnés à manger, ni médicaments qu'ils aient fait boire, ni bains où ils aient cuit les patients, n'en peuvent être accusés. Pour moi je pense que, parmi les Libyens habitant l'intérieur des terres, nul ne se porte bien, vu qu'ils couchent sur des peaux de chèvres et se nourrissent de viande de chèvre, n'ayant ni couchette, ni couverture, ni chaussure qui

ταιμνήστρᾳ λέγων, τὸν δὲ ἄντεον περιδινέοντα οὐχ ὁρᾶτε, καὶ δεῖμα προσπνέοντα ἀντίας θεοῦ. Cette glose m'offre des difficultés insurmontables. Foes y rapporte ἀθεώτατον, qu'on trouve un peu plus bas; il a, je crois, raison; mais ce n'est pas ἀθεώτατον qu'Érotien a expliqué; voy. p. 362, note 4. – Post Λιβύων addit ἂν Hκ. – τῶν om. K. – μεσόγεον θ. – οὐδὲν ἂν pro οὐδένα θι. — [11] ὅτι (εἴ τι θ) ἐπ' αἰγείοισι δέρμασι καὶ (καὶ om. H, restit. al. manu; ἢ pro καὶ θικ) κρέασι εἵνεκά γε (κρέασιν ἦν ὡς ἐκεῖ γε ικ; κρεασινην (sic) ὡς ἐκεῖ γε θ) οὐκ ἔχουσιν pro ὅτι.... ἔχουσιν FGHIJKZθικ, Ald., Cod. Mediceus ap. Mack. – ἐπ' pro ἐν P'. – κατακέονται L, Lind., Dietz. – κατακείονται vulg. – κρέεσι Dietz. – χρέονται ubique Dietz. — [12] αὐτοῖς om. θικ. – αὐτοῖσι Lind., Dietz. – πρόβατον ι, Mack. – προβάτειον θ. – ἐσθιόμενα καὶ προσφερόμενα θι. – καὶ ἐσθιόμενα om. κ.

τοῖς ἄλλο προβάτιον οὐδὲν ἢ αἶγες καὶ βόες. Εἰ δὲ ταῦτα προσφερόμενα καὶ ἐσθιόμενα τὴν νοῦσον [1]τίκτει τε καὶ αὔξει καὶ μὴ ἐσθιόμενα ἶηται, [2]οὐκ ἐστὶν ἄρα ὁ θεὸς αἴτιος οὐδενὸς, οὐδὲ οἱ καθαρμοὶ ὠφελέουσιν, ἀλλὰ τὰ ἐδέσματα τὰ [3]ἰώμενά ἐστι καὶ τὰ βλάπτοντα, τοῦ δὲ θείου ἀφανίζεται ἡ δύναμις. Οὕτως οὖν ἔμοιγε δοκέουσιν οἵτινες [4]τούτῳ τῷ τρόπῳ ἐγχειρέουσιν ἶῆσθαι ταῦτα τὰ νοσήματα, οὔτε ἱερὰ νομίζειν εἶναι οὔτε θεῖα· ὅκου γὰρ ὑπὸ καθαρμῶν τοιούτων μετάστατα γίνεται [5]καὶ ὑπὸ θεραπείης τοιῆσδε, τί κωλύει καὶ ὑφ᾽ ἑτέρων τεχνημάτων ὁμοίων τούτοισιν [6]ἐπιγίνεσθαι τοῖσιν ἀνθρώποισι καὶ προσπίπτειν; ὥστε μηκέτι τὸ θεῖον αἴτιον εἶναι, ἀλλά τι ἀνθρώπινον. Ὅστις γὰρ οἷός τε περικαθαίρων [7]ἐστὶ καὶ μαγεύων ἀπάγειν τοιοῦτον πάθος, οὗτος κἂν [8]ἐπάγοι ἕτερα τεχνησάμενος, [9]καὶ ἐν τούτῳ τῷ λόγῳ τὸ θεῖον ἀπόλλυται. Τοιαῦτα λέγοντες καὶ [10]μηχανεύμενοι προσποιέονται πλέον τι εἰδέναι, καὶ ἀνθρώπους ἐξαπατέουσι προστιθέμενοι τούτοισιν ἁγνείας τε καὶ καθαρότητας, [11]ὅ τε πουλὺς αὐτοῖσι τοῦ λόγου ἐς τὸ θεῖον ἀφήκει καὶ τὸ δαιμόνιον. Καίτοι ἔμοιγε οὐ περὶ [12]εὐσεβείης δοκέουσι τοὺς λόγους ποιέεσθαι, ὡς οἴονται, ἀλλὰ περὶ [13]δυσσεβείης μᾶλλον, καὶ ὡς οἱ θεοὶ οὐκ εἰσὶ, τό τε εὐσεβὲς καὶ θεῖον αὐτῶν ἀσεβὲς καὶ ἀνόσιόν ἐστιν, ὡς ἐγὼ διδάξω. Εἰ γὰρ σελήνην [14]τε καθαιρέειν καὶ ἥλιον ἀφανίζειν [15]καὶ χειμῶνά τε καὶ εὐδίην ποιέειν καὶ ὄμβρους καὶ αὐχμοὺς [16]καὶ θάλασσαν ἄφορον καὶ γῆν καὶ τἄλλα

[1]Τίκτει (τίκτε sic ι) τε (τε om. EH) καὶ (καὶ om. Ald.) αὔξει EHθικ, Ald., Lind. – τίκτει τε καὶ om. vulg. – ἶᾶται θι. — [2]οὐκ ἔτι ὁ θεὸς αἴτιος ἐστὶν pro οὐκ.... οὐδενὸς θ (sine ἐστὶν ι). – οὐκ ἐστὶ ὁ θεὸς αἴτιος οὐδενὸς κ. – οὐδ᾽ θι. – αἰδέσματα θι. — [3]ἰώμενά τε καὶ βλάπτοντα vulg. – ἰώμενά ἐστι καὶ τὰ βλάπτοντα Hκ (καταβλάπτοντα pro καὶ τὰ βλ. θι). – ἰώμενά τε καὶ τὰ βλάπτοντα Z, Ald. – θεοῦ pro θείου θι. – ἐμοίγε θ. — [4]τῶ τρ. τούτω θι. – ἶᾶσθαι Fθ. – ιρα (sic) θ. – ὅπου Eθικ. — [5]καὶ om. GJKZ. – θεραπηΐης Dietz. — [6]ἐπιγίνεσθαι θι. – ἀπογίνεσθαι vulg. – πράττειν pro προσπίπτειν J. – τὸ θεῖον μηκέτι θι. – περὶ πε; ικαθαίρων (sic) I. — [7]ἐστὶ θι. – ἐστι om. vulg. — [8]ἐπάγῃ vulg. – ἐπάγοι EHθικ. – ἀπάγοι Dietz. – Ita, credo, recte emendavi, dit Dietz. Cette correction est inadmissible; voy. la phrase précédente. – τεχνισάμενος κ. — [9]πάντως (π. om., H restit. al. manu, θικ) κἂν (καὶ ἐν Hθικ; κἂν καὶ ἐν E) τούτῳ vulg. – ἀπολύεται EHP′θικ, Mack. — [10]μηχανώμενοι θ. – μηχανεύμενοι Hκ. – μεμηχανεύμενοι vulg. – πλεῖον ἤ τι εἰδέναι ι. – πλεῖον ἢ εἰδέναι θ. – πλέον om. P′. – ἐξαπατῶσι θι. – αὐτοῖς pro τούτοισι θι. – καθαρότητος FJZ, Cod. Mediceus ap. Mack. – καθάρσιας θι. — [11]ὅτε (ὅτι Dietz) πουλὺ (πουλὺς FGHIKZκ, Ald.; πολὺς θι; ὁ πουλὺς Dietz) αὐτοῖσι (αὐτοῖς θι) vulg. – Il faut prendre, comme Dietz, πουλύς; mais, au lieu de changer ὅτε en

ne vienne de cet animal. En effet leur bétail consiste uniquement en chèvres et en bœufs. Si employer ces choses et s'en nourrir engendre et accroît la maladie, et n'en pas manger la guérit, la divinité n'y est pour rien, les expiations sont complétement inutiles; ce sont les aliments qui guérissent et qui nuisent, la puissance divine disparaît. Donc, à mon avis, ceux qui entreprennent la cure de telles maladies par de tels moyens ne considèrent ces affections ni comme sacrées ni comme divines. Car lorsque des maladies se déplacent par l'influence des expiations et d'un traitement de cette sorte, qui empêche que par d'autres pratiques analogues on ne les appelle et fasse tomber sur les hommes? A ce point, la cause n'est plus divine et elle est tout humaine. Celui qui, par des purifications et de la magie, a le pouvoir de chasser une telle affection, celui-là est en état, par des procédés différents, de la provoquer; et une telle argumentation supprime, sans plus, l'intervention divine. Avec ces discours et ces artifices ils se donnent pour posséder un savoir supérieur, et trompent le monde en prescrivant des expiations et des purifications; car ils ne parlent guère que de l'influence des dieux et des démons (*voy. note* 11). Dans leur opinion de tels discours vont à la piété; mais, dans la mienne, ils vont bien plutôt à l'impiété, et nient l'existence des dieux; ce qui, d'après ces gens, est religieux et divin, est, comme je vais le faire voir, irréligieux et impie. En effet ils prétendent savoir les moyens de faire

ὅτι et d'ajouter ὁ, il faut lire simplement ὅ τε. – ἐμοίγε θ. – *Démon* est pris ici, non dans le sens moderne, mais au sens grec; ce mot signifiant une divinité bonne ou mauvaise. — [12] Post εὐσ. addunt μᾶλλον GZ, Ald. – εὐσεβίης τοὺς λόγους δοκέουσι θι. – οἷόν τε pro οἴονται E. — [13] ἀσεβίης θι. – οἱ om. JKZθι. – δὲ pro τε θι. – εὐσεβὲς αὐτῶν καὶ (ἐς pro καὶ θι) τὸ θεῖον ἀσεβὲς ἐστι καὶ ἀνόσιον EHθικ. – εὐσεβὲς om. L. – ἀσεβὲς om. FGIJKLZ. — [14] τε om. θι. – καθαιρέειν κ. – καθαιρεῖν vulg. – κατάγειν θι. — [15] καὶ EHθι. – καὶ om. vulg. — [16] Lobeck, Aglaoph., t. I, p. 634, note 5, pense que ἄπορον a été omis et qu'il faut lire θάλασσαν ἄπορον καὶ γῆν ἄφορον. Cette correction très-ingénieuse est très-vraisemblable. Mais comme les mss. ne donnent pas de variante, et qu'à la rigueur le texte de vulg. peut s'entendre, je n'ai rien changé.

τὰ τοιουτότροπα πάντα [1] ὑποδέχονται ἐπίστασθαι, εἴτε καὶ ἐκ τελετέων εἴτε καὶ ἐξ ἄλλης τινὸς γνώμης [2] ἢ μελέτης φασὶν ταῦτα οἷόν τ' εἶναι γενέσθαι οἱ ταῦτ' ἐπιτηδεύοντες, δυσσεβέειν ἔμοιγε δοκέουσι καὶ θεοὺς [3] οὔτε εἶναι νομίζειν [4] οὔτ' ἐόντας ἰσχύειν οὐδὲν οὔτε εἴργεσθαι ἂν οὐδενὸς τῶν [5] ἐσχάτων, ὧν ποιέοντες πῶς οὐ δεινοὶ αὐτοῖσίν εἰσιν; εἰ γὰρ ἄνθρωπος μαγεύων [6] τε καὶ θύων σελήνην [7] τε καθαιρήσει καὶ ἥλιον ἀφανιεῖ καὶ χειμῶνα καὶ εὐδίην ποιήσει, οὐκ ἂν ἔγωγέ τι θεῖον [8] νομίσαιμι τούτων εἶναι, ἀλλ' ἀνθρώπινον, εἰ δὴ τοῦ θείου ἡ δύναμις ὑπὸ ἀνθρώπου γνώμης κρατέεται καὶ δεδούλωται. Ἴσως δὲ οὐχ οὕτως ἔχει ταῦτα, [9] ἀλλ' ἄνθρωποι βίου δεόμενοι πολλὰ καὶ παντοῖα τεχνέονται καὶ ποικίλλουσιν [10] ἔς τε τἄλλα πάντα καὶ ἐς τὴν νοῦσον ταύτην, ἑκάστῳ [11] εἴδει τοῦ πάθεος θεῷ τὴν αἰτίην προστιθέντες. Οὐ γὰρ καθάπαξ, ἀλλὰ πλεονάκις ταῦτα μέμνηνται· κὴν μὲν γὰρ αἶγα [12] μιμῶνται, [13] κὴν βρύχωνται, [14] κὴν τὰ δεξιὰ σπῶνται, μητέρα θεῶν φασὶν αἰτίην εἶναι. Ἢν δὲ ὀξύτερον καὶ εὐτονώτερον φθέγγηται, ἵππῳ εἰκάζουσι, καὶ φασὶ Ποσειδῶνα αἴτιον εἶναι. Ἢν δὲ καὶ τῆς κόπρου [15] τι παρέῃ, ὃ πολλάκις γίνεται ὑπὸ τῆς νούσου βιαζομένοισιν,

[1] Ὑποδέχονται θι. – ἐπιδέχονται vulg. – τελετῶν θι. — [2] καὶ pro ἢ θι. – φασὶν οἷοί (οἷόν GKZκ, Ald.) τε εἶναι οἱ ταῦτα vulg. – φασὶ ταῦτα (ταῦτα om. θ) οἷόν τ' εἶναι γενέσθαι οἱ ταῦτ' θι. – δυσσεβεῖν θ. – δυσεβέειν F. – ἐμοίγε θ. — [3] οὔτ' Zθ. — [4] οὔτ' FZ. – οὔτε ὄντας (ὄντας om. θικ) vulg. – ἂν om. K. — [5] ἐσχάτων ποιέοντες (ποιέοντας L), ἕνεκά γε πῶς οὐ δεινοὶ ἄρ' αὐτοῖσιν εἰσὶν vulg. – ἐσχάτων ποιέοντας (ποιέοντες Mercurialis in marg., Dietz)· ὧν ἕνεκά (εἵνεκά Dietz) γε πῶς οὐ δεινοὶ ἄρ' (ἄρα Dietz) αὐτοῖσίν εἰσιν Cod. Mediceus ap. Mack, Mercurialis in marg., Lind., Mack, Dietz. – ἐσχάτων ποιέοντες ὡς οὐ δεινοὶ αὐτοῖς ἔωσιν θι. – ἐσχάτων, ποιέοντες δὲ τάδε πῶς οὐ δεινοὶ ἄρ' αὐτοῖσίν εἰσιν K'P'. – Cette phrase, difficile à cause des altérations qu'elle a subies, me paraît pouvoir être restaurée aisément en ajoutant ὧν avant ποιέοντες; ce mot peut d'autant plus avoir été omis qu'avant est un mot terminé par ων; or, c'est un genre de faute que commettent facilement les copistes. Du reste on supprimera ἕνεκά γε avec deux de nos mss.; δὲ τάδε est une conjecture de Cornarius inscrite dans K' et P', et n'a pas d'autre valeur qu'une conjecture. Pour en ajouter une, je dirai que peut-être ἕνεκά γε est pour καὶ οὐχὶ ἕν; voyez p. 353, note 6, où, καὶ οὐχὶ ἓν étant la bonne leçon, des variantes la transforment en τούτου ἕνεκεν. — [6] τε om. θι. — [7] τε om. θ. – ἀφανείοι θι. – ἀφανιεῖ EH, Dietz. – ἀφανίσει vulg. — [8] νομίσαι K. – Post εἶναι addunt οὐδὲν θι. – ἀνθρώπεινον L. – Post ἀνθρώπινον addunt οὐδὲν θι. – δὴ om. θ. – ὑπ' θ. — [9] ἀλλὰ θ. – τεχνῶνται θι. — [10] ἔσται pro ἔς τε FJθι. – ἄλλα pro τἄλλα (H, τἄλλα al. manu) κ. — [11] εἴδι (sic) θ. – καθάπαξ om. θι. – ἓν pro καθ. Hκ. – ἄλλα θ. – Post πλ. addunt μὲν EH; γε μὴν θι. – ταῦτα EHθικ. –

descendre la lune, d'éclipser le soleil, de provoquer l'orage et le beau temps, la pluie et la sécheresse, de rendre la terre et la mer infécondes, et tant d'autres merveilles. Quelle que soit la cause, soit rites, soit toute autre connaissance ou pratique, dont les gens de ce métier disent tenir leur pouvoir, ils ne m'en paraissent pas moins être dans l'impiété et ne pas croire qu'il y ait des dieux, ou, le croyant, penser que ces dieux sont sans force et dans l'impuissance d'empêcher aucune de ces merveilles suprêmes qu'ils promettent. Or, exécutant de pareilles merveilles, comment ne seraient-ils pas redoutables aux dieux mêmes? Si un homme, par des arts magiques et des sacrifices, fait descendre la lune, éclipse le soleil, provoque le calme ou l'orage, je ne vois là rien qui soit divin ; bien au contraire, tout est humain, car la puissance divine est surmontée et asservie par l'intelligence d'un homme. Sans doute il n'en est pas ainsi ; mais des gens pressés par le besoin s'ingénient de mille manières et ont les imaginations les plus diverses pour la maladie dont il s'agit comme pour tout le reste, attribuant, pour chaque forme de l'affection, la cause à un dieu. Car ils rappellent ces idées non pas une fois mais cent : si le malade imite le bêlement de la chèvre, s'il grince des dents, s'il a des convulsions du côté droit, ils disent que la Mère des dieux est la cause du mal. Pousse-t-il des cris plus aigus et plus forts? ils le comparent à un cheval et accusent Neptune. Si quelque peu d'excrément est rendu (ce qui arrive souvent par les efforts que fait faire la maladie), le surnom est la déesse Énodie. Si ces excréments sont plus ténus et plus fré-

ταὐτὰ vulg.-μεμίμηνται EH (Q′, sed forte μεμίηνται) θ, Lind. -μεμίηνται P′. -μεμίμηται ικ.-καὶ ἢν ι.-ἢν κ.—[12] μιμῆται (H, al. manu μιμῶνται) κ.—[13] καὶ ἢν μὲν θ.-βρηχῶνται Z, Ald. -βρυχῶνται Dietz.- βρήχωνται G. -βληχῶνται Foes. in notis, Lind., Mack.—[14] ἢ θι.-σπᾶται θι.-ἐντονώτερον (al. manu εὐτ., H) ικ.-φθέγκηται (sic) κ.-εἰκάζηται, al. manu εἰκάζουσι H.-ἰκάζουσι θ.-ποσιδέωνα θ.-ποσιδεῶνα ι.-εἶναι om. E.—[15] τι om. θικ.-παρίῃ vulg.-παρείῃ Εθι.-παρέῃ κ.-ὅσα pro ὃ θ.-Post πολλ. addit τισὶ vulg.-τισι om. (H, rescript. al. manu) θικ.-ἐνοδίῃ θι.-ἐνοδείης οὐ EHIJKκ.-ἐνοδίης οὐ FGZ. -ἐν ὀδίης οὐ Ald.-προσκέεται Dietz.

Ἐνοδίου πρόσκειται ἡ προσωνυμίη· ἢν δὲ [1]λεπτότερον καὶ πυκνότερον, οἷον ὄρνιθες, Ἀπόλλων νόμιος. Ἢν δὲ ἀφρὸν ἐκ τοῦ στόματος ἀφίῃ καὶ τοῖσι ποσὶ λακτίζῃ, Ἄρης τὴν αἰτίην ἔχει. [2]Ὁκόσα δὲ δείματα νυκτὸς παρίσταται καὶ φόβοι καὶ παράνοιαι καὶ ἀναπηδήσιες ἐκ τῆς κλίνης καὶ [3]φόβητρα καὶ φεύξιες ἔξω, Ἑκάτης φασὶν εἶναι ἐπιβολὰς καὶ ἡρώων ἐφόδους. Καθαρμοῖσί τε χρέονται καὶ ἐπαοιδῇσι, καὶ ἀνοσιώτατόν [4]γε καὶ ἀθεώτατον ποιέουσιν, ὡς ἔμοιγε δοκέει, τὸ θεῖον· καθαίρουσι γὰρ [5]τοὺς ἐχομένους τῇ νούσῳ αἵματί τε καὶ ἄλλοισι τοιούτοισιν ὥσπερ μίασμά τι ἔχοντας, ἢ ἀλάστορας, ἢ [6]πεφαρμαγμένους ὑπὸ ἀνθρώπων, ἤ τι ἔργον ἀνόσιον εἰργασμένους, οὓς ἐχρῆν [7]τἀναντία τούτοισι ποιέειν, θύειν τε καὶ εὔχεσθαι καὶ ἐς τὰ ἱερὰ φέροντας ἱκετεύειν τοὺς θεούς· νῦν δὲ τούτων μὲν ποιέουσιν οὐδὲν, καθαίρουσι δέ. Καὶ τὰ μὲν τῶν καθαρμῶν γῇ κρύπτουσι, τὰ δὲ ἐς θάλασσαν ἐμβάλλουσι, τὰ [8]δὲ ἐς τὰ οὔρεα ἀποφέρουσιν, ὅπῃ μηδεὶς ἅψεται μηδὲ ἐπιβήσεται· [9]τὰ δ' ἐχρῆν ἐς τὰ ἱερὰ φέροντας τῷ θεῷ ἀποδοῦναι, εἰ δὴ θεός γέ ἐστιν αἴτιος. Οὐ μέντοι ἔγωγε ἀξιῶ ὑπὸ θεοῦ ἀνθρώπου σῶμα μιαίνεσθαι, τὸ [10]ἐπικηρότατον ὑπὸ τοῦ ἁγνοτάτου·

[1] Πυκνότερον καὶ λεπτότερον θιχ. – λακτίζει J. — [2] οἷσι pro ὁκόσα θι. – νυκτὸς δείματα θι. – ἀναπηδήσιος E. — [3] φόβ. om. (H, al. manu φόβιστρα) θιχ. – φόβηστρα I. – φεύξεις J. – ἐπιβολὰς EHθχ. – ἐπιβουλὰς vulg. – χρῶνται θι. – χρέωνται Fχ, Ald. — [4] τε pro γε Eθιχ. – Pour ἀθεώτατον Érotien a lu, je pense, ἀνταιότατον, *inimicissimum;* voyez p. 356, note 10. – Ante ποιέουσιν addunt πρῆγμα θιχ. – τὸ θεῖον om. (H, restit. al. manu) θιχ. — [5] τοῖσιν ἐχομένοισιν FGIJKZ. – αἵμασι καὶ τοῖσιν ἄλλοισι τοῖσι μιάσμασιν ἔχοντας (ἐχομένους K') ἢ ἀλάστορας vulg. – αἵμασι καὶ τοῖσιν ἄλλοισι τοῖσι τοιούτοισι μιάσμασιν ἔχοντας (ἔχοντες K; ἔχοντα Z) ἢ ἀλάστορας FGIJKZ. – αἵμασι καὶ τοῖσι τοιούτοισι μιάσμασιν ἔχοντας ἢ ἀλάστορας Lind. – αἵμασι καὶ τοῖσιν ἄλλοισι τοιούτοισι μιάσμασιν ἔχοντας ἢ ἀλάστορας L, Mack. – αἵμασι καὶ τοῖσι ἄλλοισι τοιούτοισι μιάσμασι ἢ ἔχοντας ἀλάστορας Dietz. – αἵματί τε καὶ ἄλλοισι τοιούτοις ὥσπερ μιάσματι ἔχοντας ἢ ἀλάστορας θιχ. – Ce passage, difficile vu les altérations des mss., a appelé l'attention d'un critique fort illustre, M. Lobeck (Aglaophamus, t. I, p. 634, note 5) : Hic locus ita interpungendus videtur : καθαίρουσι τοὺς ἐχομένους τῇ νούσῳ, αἵμασι καὶ τοῖσι ἄλλοισι τοιούτοισι μιάσμασι ἔχοντας ἀλάστορας ἢ πεφαρμαγμένους, etc. Enumerat varios, quibus nebulones illi uti solent, lustrandi prætextus; aut enim eum, qui hoc morbo correptus est, inimici ab uno aliquo majorum seu vi seu veneno (αἵματα καὶ τοιαῦτα μιάσματα) peremti furiis agitari aut devotum esse aut propriorum scelerum conscientia laborare dicunt. La leçon des mss. θιχ, qu'il faut, je crois, préférer puisqu'elle est correcte (lisez seulement μίασμά τι au lieu de μιάσματι), ne donne pas précisément

quents comme chez les oiseaux, le surnom est Apollon Nomius. Avec l'écume à la bouche et des battements de pieds, 'est Mars qui est inculpé. Quand, la nuit, surviennent des peurs, des terreurs, des délires, des sauts hors du lit, des visions effrayantes, des fuites hors de la maison, ce sont, lisent-ils, des assauts d'Hécate, des irruptions des Héros. Alors ils emploient les purifications et les incantations, faisant, à mon sens, de la divinité ce qu'il y a de moins saint et de moins divin; car ils purifient les personnes atteintes de la maladie avec du sang et autres choses de ce genre, comme si c'étaient gens ayant quelque souillure, des scélérats, des individus frappés d'un charme, ou ayant commis quelque action sacrilége. Loin de là, il faudrait employer des pratiques contraires, sacrifier, prier, et, allant dans les temples, implorer les dieux; mais ils n'ont recours à rien de tout cela, et n'emploient que les purifications. Quant aux objets purifiants, ls les cachent dans la terre, ils les jettent dans la mer, ils les ransportent dans les montagnes, là où personne n'y touchera, ni ne marchera dessus. Mais il faudrait porter ces objets dans les temples et en faire offrande à la divinité, si tant est que la divinité soit en cause. Pour moi, je pense que le corps de l'homme n'est pas souillé par la divinité, ce qu'il y a de plus frêle par ce qu'il y a de plus pur. Mais s'il arrive que

ce sens-là. —[6] πεφαρμακευμένους θι. – πεφραγμένους GZ, Ald. – Comparez pour ces hommes *frappés d'un charme*, πεφαρμαγμένους, les anneaux enchantés, δακτύλιος φαρμακίτης, dont il y avait un si grand débit à Athènes (Aristophane, *Nubes*, v. 756-758, et le Scholiaste ad h. loc.). – ὑπ' θ. – ἢ πέργον pro ἤ τι ἔργον θικ. – εἰργασμένους FJKLP', Lind., Mack. – ἐργασαμένους vulg. – τοὺς pro οὓς Dietz. —[7] ταντία θ. – τούτων θι. – θύειν om. θικ. – ἐς θ, Dietz. – εἰς vulg. – ἱκετεύειν.... φέροντας om. GIJKZ, Cod. Mediceus ap. Mack. – οὐθὲν EH. —[8] δ' θ. – φέρουσι θι. – ὄκη Dietz. – ἄψεται H, Dietz. – ἄψηται vulg. – μηδὲν βήσεται θικ. – ἐπιβήσεται H, Dietz. – ἐπιβήσηται vulg. —[9] τάδε χρὴν θ. – χρῆν ικ. – ὁ θεὸς θι. – γε om. θ. – ἐγὼ θ. – ἐγὼν ι. —[10] ἐπικηρότατον Εθι, Cod. Mediceus ap. Mack. – ὑποκηρότατον vulg. – καὶ ἢν θι. – ὑφ' ἑτέρου θι. – πεπονθὸς ὑπὸ τοῦ (τοῦ om. ι) θεοῦ, καθαίρεσθαι ἂν αὐτὸ καὶ ἁγνίζεσθαι μᾶλλον ἢ μαίνεσθαι pro πεπονθὸς.... μιαίνεσθαι θ (μιαίνεσθαι ι).

ἀλλὰ κῆν τυγχάνῃ ὑπὸ ἑτέρου μεμιασμένον ἤ τι πεπονθὸς, ἐθέλοι ἂν ὑπὸ τοῦ θεοῦ καθαίρεσθαι καὶ ἁγνίζεσθαι μᾶλλον ἢ μιαίνεσθαι. Τὰ γοῦν μέγιστα τῶν ἁμαρτημάτων καὶ ἀνοσιώτατα τὸ θεῖόν ἐστι τὸ [1]καθαῖρον καὶ ἁγνίζον καὶ ῥύμμα γινόμενον ἡμῖν, αὐτοί τε ὅρους τοῖσι θεοῖσι τῶν ἱερῶν καὶ τῶν τεμενέων [2]ἀποδεικνύμενοι, ὡς ἂν μηδεὶς ὑπερβαίνῃ ἢν μὴ ἁγνεύῃ, εἰσιόντες τε [3]ἡμεῖς περιῤῥαινόμεθα οὐχ ὡς μιαινόμενοι, ἀλλ' εἴ τι καὶ πρότερον ἔχομεν μύσος, τοῦτο ἀφαγνιούμενοι. Καὶ περὶ μὲν τῶν καθαρμῶν οὕτω μοι δοκέει ἔχειν.

2. Τὸ δὲ [4]νούσημα τοῦτο οὐδέν τί μοι δοκέει θειότερον εἶναι τῶν λοιπῶν, ἀλλὰ φύσιν μὲν ἔχει ἣν καὶ τὰ ἄλλα νουσήματα, καὶ πρόφασιν ὅθεν ἕκαστα γίνεται· φύσιν δὲ τοῦτο καὶ πρόφασιν [5]ἀπὸ ταὐτοῦ τὸ θεῖον γίνεσθαι ἀφ' ὅτου καὶ τἄλλα πάντα, καὶ ἰητὸν εἶναι, καὶ οὐδὲν ἧσσον ἑτέρων, ὅ τι ἂν μὴ ἤδη ὑπὸ χρόνου πολλοῦ καταβεβιασμένον ἔῃ, [6]ὥστε ἤδη εἶναι ἰσχυρότερον τῶν φαρμάκων [7]τῶν προσφερομένων. Ἄρχεται δὲ ὥσπερ καὶ τἄλλα νουσήματα κατὰ γένος· εἰ γὰρ [8]ἐκ φλεγματώδεος φλεγματώδης, καὶ ἐκ χολώδεος χολώδης γίνεται, καὶ ἐκ φθινώδεος φθινώδης, καὶ ἐκ σπληνώδεος σπληνώδης, τί κωλύει [9]ὅτῳ πατὴρ καὶ μήτηρ εἴχετο, τούτῳ τῷ νοσήματι καὶ τῶν ἐκγόνων ἔχεσθαί τινα; ὡς ὁ γόνος ἔρχεται [10]πάντοθεν τοῦ σώματος, ἀπό τε τῶν ὑγιηρῶν ὑγιηρὸς, [11]ἀπό τε τῶν νοσερῶν νοσερός. Ἕτερον δὲ μέγα τεκμήριον ὅτι οὐδὲν [12]θειότερόν ἐστι τῶν λοιπῶν νουσημά-

[1] Καθαῖρον καὶ om. E. – καὶ om. ante ἁγνίζον P'. – ῥύμμα θικ. – ἔρυμα vulg. – ἔρημα Ald. – γινόμενον θικ. – γεν. vulg. – οὔρους Dietz. – ἱρῶν θι. — [2] δείκνυνται θι. – ὑπερβαίνοι vulg. – ὑπερβαίνῃ JLθικ, Lind. – ἢν Ηθικ. – ἢ (εἰ FJKLP', Lind., Mack, Dietz.) vulg. – ἁγνεύῃ θι. – ἁγνεύοι vulg. – ἀγγεύοι Ald. – Dietz a mis entre crochets τε. — [3] ἡμεῖς θικ. – ἡμεῖς om. vulg. – περιραινόμεθα θικ. – ἀλλ'.... ἀφαγνιούμενοι om. θικ. – ἀλλ' ἔτι Codex Mediceus ap. Mack. – εἴχομεν Dietz. – μῦσος vulg. – μύσος Kühn, Dietz. – ἀπαγνιούμενοι vulg. – ἀφαγνιούμενοι EFGHIJKLZ, Ald., Lind. — [4] νόσ. θικ. – μοι om. GIJ. – θιότερον θ. – ἔχειν Lind. – ἣν om., et δὲ pro καὶ ι. – τἆλλα θ. – τὰ om. ι. – νοσήματα θικ. – καὶ πρόφασιν om. θικ. — [5] Ante ἀπὸ addit καὶ ι. – τοῦ αὐτοῦ θι. – τωὐτοῦ Dietz. – τὸ om. θι. – ἀφοτευ (sic) θ. – ἀπ' ὅτεο Dietz. – ὅτι μὴ vulg. – ὅτι ἂν μὴ EFHI (μὲν pro μὴ K) JP'κ, Mack. – ὅταν μὴ Dietz. – βεβιασμένον ἢ θι. – Ante καταβεβιασμένον addit καὶ κ. — [6] ὡς θ. – ὥστ' ι. – ἤδη om. θι. – ἰσχυρότερον εἶναι Ηθι. — [7] τῶν om. θι. – τε pro δὲ θικ. – νοσήματα θ. — [8] ἐκ τοῦ vulg. – τοῦ om. θικ. – σπληνίας pro σπληνώδης θικ. — [9] ὅτου (ὅτεο Dietz) π. καὶ μ. εἴχετο τούτῳ τῷ νοσήματι (νουσήματι Dietz), τούτῳ (τούτων K) καὶ τῶν (καὶ ἐκ τῶν P'Q', Lind., Mack) ἐγγόνων (ἐκγόνων FHK; ἐκ γονέων J) ἔχεσθαί τινα vulg. – ὅτω π. καὶ μ. εἴχετο, τούτω τῶ νο-

ce corps reçoive, d'autre part, souillure ou souffrance, il sera sans doute nettoyé et purifié par le dieu loin d'être souillé. C'est donc la divinité qui nettoie et purifie les plus grandes et les plus impies de nos fautes, c'est elle qui nous lave ; nous-mêmes nous traçons autour des temples des dieux et de leurs enceintes des limites que personne ne doit franchir s'il n'est en état de pureté ; et, les franchissant, nous faisons des ablutions, non pas comme recevant quelque souillure, mais comme nous purifiant de toute tache si nous en apportons quelqu'une. Voilà quelle est mon opinion sur les expiations.

2. (*La cause de l'épilepsie est naturelle comme celle de toutes les autres maladies.*) Quant à la maladie dont il s'agit ici, elle ne me paraît pas plus divine que le reste, mais elle a la nature qu'ont les autres maladies, et la cause dont chacune dérive. Cela (la nature et la cause) est le divin d'où provient tout le reste. Elle est curable, et elle ne l'est pas moins que les autres affections, pourvu qu'un long temps ne l'ait point enracinée de manière à la rendre plus forte que les remèdes administrés. Elle naît, comme les autres maladies, par hérédité ; si, en effet, d'un phlegmatique naît un phlegmatique, d'un bilieux un bilieux, d'un phthisique un phthisique, d'un individu à rate malade un individu à rate malade, où est l'obstacle que la maladie dont le père ou la mère a été affecté n'affecte aussi quelqu'un des enfants? car le sperme, venant de toutes les parties du corps, vient sain des parties saines, malade des parties malades (Des Airs, des Eaux et des Lieux, § 14, t. II, p. 60). Une autre grande preuve que cette affection n'est en rien plus divine que le reste, c'est qu'elle survient naturellement chez les phlegmatiques et n'attaque

σήματι καὶ τῶν ἐκγόνων (ἐγόνων κ) ἔχεσθαί τινα θικ. — [10] παντὸς ἐν pro πάντοθεν θ. – παντὸ (sic) ἐν τῷ σώματι ι. – ἦν μὲν οὖν ἀπὸ pro ἀπό τε FGIJKLZ. – ἦν μὲν οὖν ἀπό τε Q'. – εἰ μὲν οὖν ἀπὸ Codex Mediceus ap. Mack. — [11] καὶ ἀπὸ νοσηρῶν νοσηρὸς pro ἀπό τε τῶν ν. ν. θικ. – καὶ ἐκ τῶν L. – εἰ δὲ ἀπό τε Q'. – εἰ δ' ἐκ νοσερῶν FIJKZ, Codex Mediceus ap. Mack. — [12] θεῖον FHJKZ, Ald. – νοσημάτων θ. – τοῖσι δὲ λοιποῖσι φλεγματώδεσι pro τοῖσι γὰρ φλ. θι.

των· τοῖσι γὰρ φλεγματώδεσι φύσει γίνεται· τοῖσι δὲ χολώδεσιν οὐ προσπίπτει· [1]καίτοι εἰ θειότερόν ἐστι τῶν ἄλλων, τοῖσιν ἅπασιν ὁμοίως ἔδει γίνεσθαι τὴν νοῦσον ταύτην, καὶ μὴ διακρίνειν μήτε χολώδεα μήτε φλεγματώδεα.

3. Ἀλλὰ [2]γὰρ αἴτιος ὁ ἐγκέφαλος τούτου τοῦ πάθεος, ὥσπερ [3]καὶ τῶν ἄλλων νουσημάτων τῶν μεγίστων· ὁτέῳ δὲ τρόπῳ καὶ ἐξ οἵης προφάσιος γίνεται, ἐγὼ φράσω σαφέως. Ὁ ἐγκέφαλος τοῦ ἀνθρώπου ἐστὶ διπλόος ὥσπερ καὶ τοῖσιν ἄλλοισι ζώοισιν ἅπασιν· τὸ δὲ μέσον αὐτοῦ [4]διείργει μῆνιγξ λεπτή· διὸ οὐχ αἰεὶ κατὰ τωὐτὸ τῆς κεφαλῆς ἀλγέει, ἀλλ' ἐν μέρει ἑκάτερον, ὁτὲ δὲ ἅπασαν. Καὶ φλέβες [5]δ' ἐς αὐτὸν τείνουσιν ἐξ ἅπαντος τοῦ σώματος, πολλαὶ καὶ λεπταὶ, δύο δὲ παχεῖαι, [6]ἡ μὲν ἀπὸ τοῦ ἥπατος, [7]ἡ δὲ ἀπὸ τοῦ σπληνός. Καὶ ἡ μὲν ἀπὸ τοῦ ἥπατος ὧδ' ἔχει· τὸ μέν τι τῆς φλεβὸς κάτω τείνει διὰ τῶν ἐπὶ δεξιὰ παρ' αὐτὸν τὸν νεφρὸν καὶ τὴν ψυὴν ἐς τὸ ἐντὸς τοῦ μηροῦ καὶ καθήκει ἐς τὸν πόδα, καὶ καλέεται κοίλη φλέψ· ἡ [8]δὲ ἑτέρη ἄνω τείνει διὰ φρενῶν τῶν δεξιῶν καὶ τοῦ πλεύμονος· ἀπέσχισται δὲ καὶ ἐς τὴν καρδίην καὶ ἐς τὸν βραχίονα τὸν δεξιόν· [9]τὸ δὲ λοιπὸν ἄνω φέρει διὰ τῆς κληῖδος ἐς τὰ δεξιὰ τοῦ αὐχένος, [10]ἐς αὐτὸ τὸ δέρμα ὥστε κατάδηλός εἶναι· [11]παρὰ δὲ τὸ οὖς κρύπτεται καὶ ἐνταῦθα σχίζεται, καὶ τὸ μὲν παχύτατον καὶ μέγιστον καὶ κοιλότατον ἐς τὸν ἐγκέφαλον τελευτᾷ, τὸ δὲ ἐς τὸ οὖς τὸ δεξιὸν [12]φλέβιον λεπτὸν, τὸ δὲ ἐς [13]τὸν ὀφθαλμὸν τὸν δεξιὸν, τὸ [14]δὲ ἐς τὸν μυκτῆρα. Ἀπὸ μὲν τοῦ ἥπατος οὕτως ἔχει [15]τῶν φλεβῶν. Διατέταται δὲ καὶ ἀπὸ τοῦ σπληνὸς φλὲψ ἐς τὰ ἀριστερὰ καὶ κάτω καὶ ἄνω, ὥσπερ [16]καὶ ἀπὸ τοῦ ἥπατος, λεπτοτέρη δὲ καὶ ἀσθενεστέρη.

[1] Καὶ τοῖσι pro καίτοι εἰ FGHIJKZθι. – πᾶσιν θι. – ἔδεε Dietz. — [2] γὰρ α... τοῖσιν vulg. – αὐτοῖσιν om. θιχ. — [3] καὶ om. Hθιχ. – νοσημάτων Fθ. – ὅτω ... τῶ τρόπω θιχ. – σαφῶς E. – σάφα θι. – ἐστι τοῦ ἀνθρώπου HXθιχ. – ζώοις θι... — [4] διείργει θιχ. – διαιρέει vulg. – διότι vulg. – διὸ θ. – αἰεὶ Lind., Dietz. – ἐ... θ. – ἀεὶ vulg. – τωυτὸ θ, Dietz. – τὸ αὐτὸ vulg. – ἅπασαν FHIθιχ. – ἅπασα vul... – ἅπας K. — [5] δ' θ. – δὲ Dietz. – τε vulg. – ἐς θ, Dietz. – εἰς vulg. – παχέ... Dietz. — [6] ἡ.... σπληνὸς om. ιχ. — [7] ἡ.... ἥπατος om. θ. – ὧδε Dietz. – μέντ... pro μέν τι GZχ, Ald., Frob., Lind., Mack. – τοῦ σπληνὸς pro τῆς φλεβὸς θ... – παρὰ Dietz. – ψοιὴν EHX. – ψοὰν θι. – ψοὴν Codex Mediceus ap. Mack. – [8] δ' θ. – φρενῶν Dietz. – φλεβῶν vulg. – διὰ τῶν φλεβῶν καὶ τοῦ πλεύμονος τῶ... δεξιῶν θιχ. – πνεύμονος vulg. – πλεύμονος ubique Dietz. – La correction d... Dietz, de φλεβῶν en φρενῶν, est bonne. Voyez plus bas, p. 374, note 5, u... confusion, dans certains mss., entre φρένας et φλέβας. — [9] καὶ τὸ sine...

pas les bilieux; cependant, si elle était plus divine que les autres, il faudrait qu'elle attaquât indistinctement tous les tempéraments et qu'elle ne fît acception ni de bilieux ni de phlegmatiques.

3. (*Le cerveau est l'origine de l'épilepsie comme de toutes les autres très-grandes maladies. Description des veines, dont deux grosses sont supposées partir du foie et de la rate, et se rendre au cerveau.*) La vérité est que le cerveau est l'origine de cette affection comme de toutes les autres très-grandes maladies; de quelle façon et par quelle cause? je vais l'expliquer clairement. Le cerveau est double chez l'homme comme chez tous les autres animaux; le milieu en est cloisonné par une membrane mince. Aussi la souffrance ne se fait-elle pas toujours sentir dans le même point de la tête, mais elle est tantôt d'un côté, tantôt de l'autre, et quelquefois aussi partout. Des veines y arrivent de tout le corps, nombreuses et menues, mais deux grosses, l'une du foie, l'autre de la rate. Celle du foie se comporte ainsi : une certaine partie de la veine descend à droite le long du rein et des lombes jusqu'au dedans de la cuisse et arrive au pied, on la nomme veine cave; l'autre portion marche en haut à travers le diaphragme droit et le poumon, elle donne une branche au cœur et au bras droit, le reste monte par la clavicule à la droite du cou sous la peau même, où elle est visible. Près de l'oreille elle se cache et là se divise : la portion la plus grosse, la plus grande et la plus creuse se termine dans le cerveau; l'autre portion se rend d'une part dans l'oreille droite (et ce n'est qu'une veine menue), d'autre part dans l'œil droit, d'autre part enfin dans la narine. Telle est la disposition des veines provenant du foie. Quant à celle de la rate, elle se distribue à gauche en bas et en haut comme celle du foie; elle est plus menue et plus faible.

θιx. — [10] καὶ αὐτοῦ pro ἐς αὐτὸ Lind., Mack. – τὸ αὐτὸ LX. – εἶναι θιx. – ἔστι vulg. — [11] παρ' αὐτὸ δὲ τὸ θιx. — [12] φλέβιον λεπτὸν om. θιx. — [13] Ante τὸν addit τὸ οὖς J. — [14] δ' Xθ. — [15] τὰ τῶν θιx. – τῆς σπληνὸς FGZ. — [16] καὶ ἡ ἀπὸ θ.

4. Κατὰ ταύτας δὲ τὰς φλέβας καὶ [1]ἐσαγόμεθα τὸ πουλὺ τοῦ πνεύματος· αὗται γὰρ ἡμέων εἰσὶν ἀναπνοαὶ τοῦ σώματος τὸν ἠέρα ἐς σφᾶς ἕλκουσαι, καὶ [2]ἐς τὸ σῶμα τὸ λοιπὸν ὀχετεύουσι κατὰ τὰ φλέβια, καὶ ἀναψύχουσι καὶ πάλιν ἀφιᾶσιν. Οὐ γὰρ [3]οἷόν τε τὸ πνεῦμα στῆναι, ἀλλὰ χωρέει ἄνω καὶ κάτω· ἢν γὰρ στῇ που καὶ ἀποληφθῇ, ἀκρατὲς γίνεται ἐκεῖνο τὸ μέρος ὅπου ἂν στῇ· τεκμήριον δέ· [4]ὁκόταν καθημένῳ ἢ κατακειμένῳ φλέβια πιεσθῇ, ὥστε τὸ πνεῦμα μὴ διεξιέναι διὰ τῆς φλεβὸς, εὐθὺς νάρκη ἔχει. Περὶ [5]μὲν τῶν φλεβῶν καὶ τῶν λοιπῶν οὕτως ἔχει.

5. [6]Ἡ δὲ νοῦσος αὕτη γίνεται τοῖσι μὲν φλεγματίῃσι, τοῖσι δὲ χολώδεσιν οὔ. Ἄρχεται δὲ φύεσθαι ἐπὶ τοῦ ἐμβρύου [7]ἔτι ἐν τῇ μήτρῃ ἐόντος· καθαίρεται γὰρ καὶ ἀνθέει, ὥσπερ τἄλλα μέρεα, πρὶν γενέσθαι, καὶ ὁ ἐγκέφαλος. Ἐν ταύτῃ δὲ τῇ καθάρσει ἢν μὲν καλῶς καὶ μετρίως καθαρθῇ καὶ μήτε [8]πλέον μήτε ἔλασσον τοῦ δέοντος ἀποῤῥυῇ, οὕτως ὑγιεινοτάτην τὴν κεφαλὴν [9]ἔχει· ἢν δὲ πλέονα ῥυῇ ἀπὸ παντὸς τοῦ ἐγκεφάλου καὶ ἀπότηξις πολλὴ γένηται, νοσώδεά [10]τε τὴν κεφαλὴν ἕξει αὐξόμενος καὶ ἤχου πλέην, καὶ οὔτε ἥλιον οὔτε ψῦχος ἀνέξεται· ἢν [11]δὲ ἀπὸ ἑνός τινος γένηται ἢ ὀφθαλμοῦ ἢ οὔατος, ἢ φλέψ τις [12]συνισχνανθῇ, ἐκεῖνο κακοῦται τὸ μέρος, ὁκοίως ἂν καὶ

[1] Ἐπαγόμεθα Lθικ. – πολὺ Xθ. – πολλοῦ κ. – ἡ μέσω pro ἡμέων J Codex Mediceus ap. Mack. – ἡμῖν θκ. – ἀναπνοαὶ ἐκ τοῦ στόματος κα τὸν ἠέρα ἐς σφᾶς ἕλκομεν θικ. – σφέας Dietz. — [2] ἐς om. K. – ὀχετεύουσ κατὰ τὰ θικ. – ὀχετεύουσαι καὶ κατὰ τὰ vulg. — [3] οἴονται θικ. – χωρέει EFHIJKXZ. – ἀλλ' ἀναχωρέει θικ. – ἄνω τε καὶ κάτω θ. – καθ' ὃ pro τι μέρος ὅπου EH. – καθ' ὃ pro ὅπου XQ'κ, Lind., Mack. – καθ' ὅτι pr ὅπου θι. – ὅκου Dietz. — [4] ὅταν θικ. – Ante καθ. addit γὰρ vulg. – γὰρ om GIJKZθικ, Lind. – κατακειμένω ἢ καθημένω θικ. – καταχεομένῳ Dietz. – αἷμα pro πνεῦμα θ. – διὰ θικ. – ἀπὸ pro διὰ vulg. – νάρκα θικ. — [5] μὲ om., restit. al. manu H. – καὶ HX. – καὶ om. vulg. – καὶ τῶν λοιπῶν om. θ — [6] Dans la collation venant de Dietz qui m'a été remise, on lit cett note : Abhinc collatum est præter codices huc usque commemoratos frag mentum codicis Vindobonensis XXIX. Inscribitur fragmentum : περὶ ἱερῆ νόσου διήγησις μερική. Incipit : αὕτη ἡ νοῦσος ἄρχεται φύεσθαι ἐπὶ φλεγμα τίῃσι κτλ. – μὲν om. θ. — [7] ἔτι om. (H, restit. al. manu) θ. – καθαίρητο Lind. – τὰ ἄλλα Xθλ. – μέλεα θικ. – πρὶν ἢ θικλ. – Kühn, dans les notes qu m'ont été transmises par M. Rosenbaum, propose de lire ἀφρέει au lieu d ἀνθέει ; mais il n'y a rien à changer ; ἀνθέει est assuré et expliqué par u passage du livre Des Humeurs, § 1, ligne 2, t. V, p. 476. – καθάρσι Dietz — [8] πλέον μήτ' ἔλασσον θικλ. – πλεῖον vulg. – ἀπορυῇ X. – οὗτος XP'λ, Mack

4. (*Les veines attirent l'air, et l'air est l'entretien de la sensibilité; comparez* Des Vents, § 14.) Par ces veines nous attirons la plus grande partie de l'air; car ce sont pour nous des soupiraux du corps qui aspirent l'air. Elles le distribuent partout à l'aide des petites veines; puis elles l'exhalent, ayant ainsi procuré le rafraîchissement. Car le souffle ne peut rester en place, mais il va en haut et en bas; en effet, s'il s'arrête en quelque point et y est intercepté, la partie où il s'arrête devient incapable de se mouvoir. En voici la preuve : quand, assis ou couché, des veines sont tellement comprimées que l'air ne puisse y passer, il survient aussitôt un engourdissement. Telle est la condition des veines et du reste.

5. (*Théorie de la purgation du cerveau, soit dans l'utérus, soit après la naissance, à l'effet d'expliquer la santé ou la maladie des enfants.*) La maladie dont il s'agit attaque les phlegmatiques et non les bilieux; le germe en commence chez l'embryon encore enfermé dans l'utérus. En effet, le cerveau, comme les autres parties avant la naissance, se purge et a une efflorescence. Par cette purgation, si elle s'opère bien et dans une juste mesure, et qu'il ne s'écoule rien de trop ni rien de trop peu, l'individu aura la tête la plus saine. Mais si l'écoulement de tout le cerveau est trop abondant et qu'il y ait une fonte considérable, il aura, grandissant, la tête malsaine, pleine de bruit, et ne pourra supporter ni le soleil, ni le froid. Si l'écoulement provient d'une seule partie, de l'œil par exemple, ou de l'oreille, ou si quelque veine s'est contractée, cette partie est lésée en proportion de la fonte qui a eu lieu.

-ὑγιηροτάτην HXθι. -ὑγιειροτέρην E. —[9] ἕξει Lind. -ἢν δὲ πλείων (πλείω E HK) ἀπὸ παντὸς τοῦ (τοῦ om. J) ἐγκ. γένηται ἡ ἀπότηξις vulg. -ἢν δὲ πλέονα ῥυῇ ἀπὸ τοῦ παντὸς ἐγκεφάλου καὶ ἀπότηξις πολλὴ γένηται θ. -ἢν δὲ πλέον ἀπὸ τοῦ παντὸς ἐγκεφάλου καὶ ἀπότηξις πολλὴ γένηται ιx. —[10] τε om. θ. -ἕχει FIJKLXZλ, Codex Mediceus ap. Mack. -αὐξανόμενος θι. -αὐξάμενος Codex Mediceus ap. Mack. —[11] δὲ om. X. -ἢ ἀπὸ ὀφθαλμοῦ vulg. -ἀπὸ om. ι. -ὠτὸς θι. —[12] ξ. Dietz. -συνισχρανθῇ (H, emend. al. manu) x. -συνεισχρανθῇ FJ. -συνεισχιανθῇ GZ. -ἐκεῖνος (ἐκεῖνο H) κακοῦται οὕτως ὁκοίως ἂν vulg. -κεῖνο κακοῦται τὸ μέρος ὅπως ἂν θικλ.

τῆς ἀποτήξιος ἔχῃ· ἢν δὲ κάθαρσις μὴ ἐπιγένηται, ἀλλὰ [1] ξυστραφῇ τῷ ἐγκεφάλῳ, οὕτως ἀνάγκη φλεγματώδεα εἶναι. Καὶ ὁκόσοισι μὲν παιδίοισιν ἐοῦσιν ἐξανθέει ἕλκεα [2] ἐς τὴν κεφαλὴν καὶ ἐς τὰ οὔατα καὶ ἐς τὸν ἄλλον χρῶτα, καὶ σιαλώδεα [3] γίνεται καὶ μυξόῤῥοα, ταῦτα μὲν ῥήϊστα διάγει προϊούσης τῆς ἡλικίης· ἐνταῦθα γὰρ ἀφίει καὶ ἐκκαθαίρεται τὸ φλέγμα, ὃ ἐχρῆν ἐν τῇ μήτρῃ καθαρθῆναι· καὶ τὰ οὕτω [4] καθαρθέντα οὐκ ἐπίληπτα γίνεται ταύτῃ τῇ νούσῳ ὡς ἐπὶ τὸ πουλύ. Ὁκόσα δὲ [5] καθαρά ἐστι, καὶ [6] μήθ' ἕλκος μηδὲν μήτε μύξα μήτε σίελον αὐτοῖς προέρχεται [7] μηδὲν, μήτε ἐν τῇσι μήτρῃσι πεποίηται τὴν κάθαρσιν, [8] τούτοισιν ἐπικίνδυνόν ἐστιν ἁλίσκεσθαι ὑπὸ ταύτης τῆς νούσου.

6. Ἢν [9] δὲ ἐπὶ τὴν καρδίην ποιήσηται ὁ κατάῤῥοος τὴν πορείην, παλμὸς ἐπιλαμβάνει καὶ ἄσθματα, καὶ τὰ στήθεα διαφθείρεται, ἔνιοι δὲ καὶ κυφοὶ γίνονται· [10] ὁκόταν γὰρ ἐπικατέλθῃ τὸ φλέγμα ψυχρὸν ἐπὶ τὸν πλεύμονα ἢ ἐπὶ τὴν καρδίην, ἀποψύχεται τὸ αἷμα· αἱ δὲ φλέβες πρὸς βίην ψυχόμεναι πρὸς τῷ [11] πλεύμονι καὶ τῇ καρδίῃ πηδῶσι, καὶ ἡ καρδίη πάλλεται, ὥστε ὑπὸ τῆς ἀνάγκης ταύτης τὰ ἄσθματα ἐπιπίπτειν καὶ τὴν ὀρθοπνοίην. [12] Οὐ γὰρ δέχεται τὸ πνεῦμα ὅσον ἐθέλει, μέχρις ἂν κρατηθῇ [13] τοῦ φλέγματος τὸ ἐπιῤῥυὲν καὶ διαθερμανθὲν διαχυθῇ ἐς τὰς φλέβας· ἔπειτα παύεται τοῦ παλμοῦ καὶ τοῦ ἄσθματος· παύεται δὲ [14] ὅκως ἂν τοῦ πλήθεος ἔχῃ· ἢν μὲν γὰρ πλέον ἐπικαταῤῥυῇ, σχολαίτερον, ἢν δὲ ἔλασσον, θᾶσσον· [15] καὶ ἢν μὲν

[1] σ. Hθ. – ὅσοισι ικλ. – οἷσι θ. – παιδίοις θικλ. — [2] καὶ ἐς θικλ. – ὦτα θικλ. – ἄλλον om. θικλ. — [3] γίνεται θ. – γίγνεται Dietz. – γένηται vulg. – ἐνθαῦτα Dietz. – δὲ pro γὰρ J. – ἀφιεῖ λ. – ἀπιεῖ Dietz. – ἐκκαθαίρεται θ. – καθαίρεται vulg. – ἐν τῇ μήτρῃ θικλ. – ἐς τὴν μήτρην vulg. — [4] παιδευθέντα οὐ γίνεται ἐπίληπτα τῇ νούσῳ ταύτῃ ἐπὶ τὸ πολὺ θικλ. – ἐπὶ τὸ πουλὺ FH, Lind., Dietz. – ἐπιτοπολὺ vulg. — [5] καθαρά τέ ἐστι Hθικλ. — [6] μὴ Z, Ald. – μήτε θ, Dietz. – ἕλκεος E. – μηθὲν EH. – σίελον θικλ. – σίαλον vulg. – αὐτοῖς θικλ. – αὐτοῖς om. vulg. — [7] μηθὲν HXικλ. – μηδὲν om. θ. – μήτ' pro μήτε θ. — [8] τούτοισι (H, alia manu τοῖσι τοιούτοισι) Xθ. – τοῖσι τούτοισι ικ. – τοῖσι τοιούτοισι vulg. – Ante ἐπικ. addunt δὲ Hθικ. – Si on admettait δὲ, il faudrait le prendre dans le sens de δή. – ἐστιν om. FGIJKZ. — [9] δ' θ. – κατάῤῥοος θ, Dietz. – κατάῤῥους vulg. – πορίην Kθ. – πορανίην (sic) ικλ. – ἐπιλαμβάνῃ F. – ἆσθμα θικλ. — [10] ὅταν θικλ. – πνεῦμα pro φλέγμα θικλ. – πλεύμονα θ, Dietz. – πν. vulg. – καὶ pro ἢ ἐπὶ θικλ. — [11] πλ. θ, Lind., Dietz. – πν. vulg. – τὸ ἆσθμα θικλ. – ἐμπίπτειν Eθικλ. – ὀρθόπνοιαν ικλ. — [12] οὐ γὰρ δέχεσθαι τὸ πνεῦμα ἐθέλει vulg. – οὐ γὰρ δέχεται τὸ πνεῦμα ὅσον ἐθέλει θι. – ἄχρι θιλ. – ἂν om. (H, restit. al. manu) θικλ. — [13] ὑπὸ τοῦ φλέγματος (πνεύματος L, Lind.; αἵματος

Enfin si la purgation ne s'est pas opérée, et qu'il y ait eu concentration dans le cerveau, le sujet sera nécessairement pituiteux. Ceux qui, dans leur enfance, ont des éruptions à la tête, aux oreilles et au reste du corps, et sont affectés d'écoulements salivaire et nasal, ceux-là se portent le mieux à mesure qu'ils avancent en âge; car de cette façon se décharge et se purge le phlegme dont l'économie aurait dû se débarrasser dans l'utérus. Ainsi purifiés, ils ne sont guère exposés à cette affection; mais ceux dont le corps est net, et qui n'ont ni ulcération, ni flux muqueux, ni flux salivaire, sans avoir, dans la matrice, passé par la purification préalable, sont dans le danger d'être ainsi affectés.

6. (*Points où se porte la fluxion venant du cerveau. Comparez* Des Lieux dans l'homme, §§ 10 *et suiv.*) Si le flux prend sa marche vers le cœur, il survient des palpitations, de la dyspnée, la poitrine s'altère, quelques-uns même deviennent bossus. En effet la pituite froide, descendant sur le poumon ou sur le cœur, refroidit le sang; les veines, saisies violemment par ce refroidissement, battent contre le poumon et le cœur, le cœur palpite et il en résulte nécessairement la gêne de la respiration et l'orthopnée, car le patient ne reçoit pas le souffle autant qu'il le veut, tant que le phlegme affluant n'a pas été surmonté, échauffé et dispersé dans les veines. Alors cessent les palpitations et la dyspnée, et elles cessent dans la mesure de la quantité du flux, c'est-à-dire plus lentement si le flux est plus considérable, plus vite s'il est moindre. De la

K', Mack) vulg. – ὑπὸ om. θι. – πνεύματος de L ou αἵματος de K' sont des essais de correction qui deviennent inutiles quand on a la bonne leçon, qui est de supprimer ὑπὸ avec θι. Il en est de même de cette note de Dietz: Mendum asterisco significasse sategi, hæsitabundus num probanda sit mea emendatio; ὑπ' αὐτοῦ (a corde) τοῦ φλέγματος τὸ, etc., quam lectionem latine expressi. Dietz était arrivé très-près de la bonne leçon, et avait du moins touché le véritable sens, en rapportant τοῦ φλέγματος à τὸ ἐπιῤῥυέν, et non pas à ὑπὸ de vulg. — [14] ὅπως ἂν καὶ τοῦ πλήνθεος (sic) θ. – ἂν καὶ τοῦ EHλ. – σχολέτερον θικλ. – δ' θ. — [15] καὶ om. IJZ. – μὲν om. θικλ. – ἐῶσιν θ. – κατάρροοι FZθ, Dietz. – κατάῤῥοι vulg.

πυκνότεροι ἔωσιν οἱ κατάῤῥοοι, πυκνότερα ἐπίληπτος γίνεται, [1]ἢν δὲ μὴ, ἀραιότερα. Ταῦτα μὲν οὖν πάσχει, ἢν ἐπὶ τὸν πλεύμονα καὶ τὴν καρδίην [2]ἴῃ· ἢν δὲ ἐς τὴν κοιλίην, διάῤῥοιαι [3]λαμβάνουσιν.

7. Ἢν δὲ τουτέων μὲν τῶν ὁδῶν ἀποκλεισθῇ, ἐς δὲ τὰς φλέβας, ἃς προείρηκα, τὸν κατάῤῥοον ποιήσηται, ἄφωνός [4]τε γίνεται καὶ πνίγεται, καὶ ἀφρὸς ἐκ τοῦ στόματος ἐκρέει, καὶ οἱ ὀδόντες συνηρείκασι, καὶ αἱ χεῖρες [5]συσπῶνται, καὶ τὰ ὄμματα διαστρέφονται, καὶ οὐδὲν φρονέουσιν, ἐνίοισι [6]δὲ καὶ ὑποχωρέει ἡ κόπρος κάτω· καὶ ταῦτα γίνεται [7]ὁτὲ μὲν ἐς τὰ ἀριστερὰ, ὁτὲ δὲ ἐς τὰ δεξιὰ, ὁτὲ [8]δὲ ἐς ἀμφότερα. Ὅκως δὲ τούτων ἕκαστον πάσχει ἐγὼ φράσω· ἄφωνος μέν ἐστιν ὁκόταν ἐξαίφνης τὸ φλέγμα ἐπικατελθὸν ἐς τὰς φλέβας ἀποκλείσῃ τὸν ἠέρα καὶ μὴ παραδέχηται [9]μήτε ἐς τὸν ἐγκέφαλον μήτε ἐς τὰς φλέβας τὰς κοίλας μήτε ἐς τὰς κοιλίας, ἀλλ' ἐπιλάβῃ τὴν ἀναπνοήν· ὅταν γὰρ [10]λάβῃ ἄνθρωπος κατὰ τὸ στόμα καὶ τοὺς μυκτῆρας τὸ πνεῦμα, πρῶτον μὲν ἐς τὸν ἐγκέφαλον ἔρχεται, ἔπειτα [11]δὲ ἐς τὴν κοιλίην τὸ πλεῖστον μέρος, τὸ [12]δὲ ἐπὶ τὸν πλεύμονα, τὸ δὲ ἐπὶ τὰς φλέβας. Ἐκ τουτέων δὲ σκίδναται ἐς τὰ λοιπὰ μέρεα κατὰ τὰς φλέβας· [13]καὶ ὅσον μὲν ἐς τὴν κοιλίην ἔρχεται, τοῦτο μὲν τὴν κοιλίην διαψύχει, καὶ ἄλλο τι οὐδὲν ξυμβάλλεται· [14]ὁ δ' ἐς τὸν πλεύμονά τε καὶ τὰς φλέβας ἀὴρ ξυμβάλλεται ἐς τὰς κοιλίας ἐσιὼν καὶ ἐς τὸν ἐγκέφαλον, καὶ οὕτω τὴν φρόνησιν καὶ τὴν κίνησιν τοῖσι μέλεσι παρέχει, [15]ὥστε, ἐπειδὰν ἀποκλεισθῶσιν αἱ φλέβες τοῦ ἠέρος ὑπὸ τοῦ φλέγματος

[1] Ἢν δὲ μὴ ἀρ. om. FGHIJKZθικλ, Codex Mediceus ap. Mack, Ald. – οὖν om. θικλ. – πλεύμονα θ, Lind., Dietz. – πν. vulg. — [2] ἔῃ ELXP'Q'κ. – ῇ θι. — [3] λάβωσιν FGIJKZ, Ald. – ἢν μὲν τουτέων pro ἢν δὲ τουτέων μὲν FGIJKZ. – τούτων θι. – ἀποκλισθῇ θ. – ἀποκληϊσθῇ Dietz. – Dietz suit partout cette forme pour le verbe κλείζω. — [4] τε om. θ. – ῥεῖ θ. – ῥέει ικ. – ἐκρέη FZ, Ald. – συνήρκασι vulg. – ξυνήρκασι Dietz. – συνηρείκασι θλ, Mack. — [5] ξ. Dietz. — [6] δὲ FGHIJKZθικλ, Ald. – δὲ om. vulg. – ἡ κόπρος om. θικλ. — [7] ἐνίοτε θι. – ἐς τὰ ἀριστερὰ HXQ'θι. – ἐς τἀριστερὰ κ. – ἐπ' ἀριστερὰ vulg. — [8] δ' θ. – ὅπως θ. – ὅταν θικλ. – ἐξαίφνης om. FGJKZ. – πνεῦμα pro φλέγμα EJGP'Q'κλ, Codex Mediceus ap. Mack. – ἐπὶ pro ἐς θκλ. – ἠέρα EHXQ'θ, Lind., Mack, Dietz. – ἀέρα vulg. — [9] μήτ' (bis) θ. – μήτε ἐς τὰς κοιλίας om. θι. — [10] λάβῃ θι. – ἐπιλάβῃ vulg. – Si on gardait ἐπιλάβῃ ici et dans le membre de phrase immédiatement précédent, il faudrait donner à ces deux ἐπιλάβῃ un sens opposé dans l'un et l'autre passage. Je crois donc bonne la leçon de θι. – ὤνθρωπος Dietz. – μὲν om. K. — [11] δ' θ. – δὲ om. X. — [12] δ' ἐπὶ τὸν πλ. θ. – πν. vulg. – τὸ δ' ἐπὶ τὰς θ. – τούτων θ. – σκιδνᾶται ἐπὶ τὰ θικ. – σκορπίζεται

même façon, des flux qui se répètent fréquemment produisent des accès fréquents; éloignés, des accès éloignés. Voilà ce qui se passe quand le flux va sur le poumon et sur le cœur. Mais s'il se rend dans le ventre, c'est la diarrhée qui survient.

7. (*Production de l'épilepsie. Explication des accidents.*) Le flux est-il au contraire coupé de ces voies, et pénètre-t-il dans les veines que j'ai indiquées plus haut? le sujet perd la voix et étouffe, l'écume lui sort de la bouche, il grince des dents, les mains se tordent, les yeux divergent, toute connaissance est perdue, quelquefois même il y a sortie des excréments. De tels accidents se manifestent tantôt à gauche, tantôt à droite, tantôt des deux côtés. Je vais expliquer comment chacun de ces accidents survient. Le sujet perd la voix parce que le phlegme, descendant tout à coup dans les veines, intercepte l'air, qui n'est plus reçu ni dans le cerveau, ni dans les veines caves, ni dans les cavités, la respiration étant interceptée. En effet, quand on aspire le souffle par la bouche et les narines, ce souffle va d'abord au cerveau; puis la plus grande partie va dans le ventre, et le reste dans le poumon et dans les veines; de là il se répand, par les veines, dans les autres parties. La portion qui va dans le ventre raffraîchit le ventre et n'a pas d'autre usage. Mais l'air qui va dans le poumon et dans les veines, s'introduisant dans les cavités et dans le cerveau, concourt et produit ainsi l'intelligence, et, dans les membres, le mouvement. De la sorte, quand par le phlegme l'air est exclu des veines, qui ne le reçoivent plus, le patient

pro σκίδ. P' (λ, supra lineam). — [13] καὶ ὅσον ἐς μὲν (μὲν ἐς GHIJXZ, Ald.) τὴν κοιλίην διαψύχει καὶ ἄλλο vulg. – καὶ ὅσον μὲν ἐς τὴν κοιλίην ἔρχεται, τοῦτο μὲν τὴν κοιλίην διαψύχει καὶ ἄλλο θ. – τι om. (H, restit. al. manu) θ. – οὐθὲν EH. — [14] τοῦτο δ' ἐς τὸν πνεύμονα (τωὐτὸ δὲ τὸ ἐς τὸν πλεύμονα K', Dietz)· ὁ δὲ ἐς τὰς φλέβας vulg. – ὁ δ' (τοῦτο δ' ικλ) ἐς τὸν πλεύμονά τε καὶ τὰς φλέβας θικλ. – Dietz approuve et adopte la correction de Cornarius, qui est fort ingénieuse. Mais, dans un passage difficile, j'ai mieux aimé suivre une leçon de mss. qui n'a pas besoin de correction. – ἠὴρ Lind., Dietz. – ἐσιὼν θ, Dietz. – εἰσιὼν vulg. – Post ἐγκέφαλον addunt ἔρχεται θικ. – παρέχει τοῖσι μέλεσι X. — [15] ὥστ' θ. – παραδέχονται Xθι. – καθιστᾶ FK. – καθίστασι θ. – κατιστέασι Dietz.

καὶ μὴ παραδέχωνται, ἄφωνον καθιστᾶσι καὶ ἄφρονα τὸν ἄνθρωπον. Αἱ δὲ χεῖρες ἀκρατέες γίνονται καὶ σπῶνται, [1]τοῦ αἵματος ἀτρεμίσαντος καὶ μὴ διαχεομένου ὥσπερ εἰώθει. Καὶ οἱ ὀφθαλμοὶ [2]διαστρέφονται, τῶν φλεβίων ἀποκλειομένων τοῦ ἠέρος καὶ σφυζόντων. Ἀφρὸς [3]δὲ ἐκ τοῦ στόματος προέρχεται ἐκ τοῦ πλεύμονος· ὅταν γὰρ τὸ πνεῦμα μὴ ἐσίῃ ἐς αὐτὸν, [4]ἀφρέει καὶ αναβλύει ὥσπερ ἀποθνήσκων. Ἡ δὲ κόπρος ὑπέρχεται ὑπὸ βίης πνιγομένου· πνίγεται δὲ τοῦ ἥπατος καὶ [5]τῆς κοιλίης ἄνω πρὸς τὰς φρένας προσπεπτωκότων καὶ τοῦ στομάχου τῆς γαστρὸς ἀπειλημμένου· προσπίπτει [6]δὲ ὁκόταν τὸ πνεῦμα μὴ ἐσίῃ ἐς τὸ [7]στόμα ὅσον εἰώθει. Λακτίζει δὲ τοῖσι ποσὶν, ὁκόταν ὁ ἀὴρ ἀποκλεισθῇ ἐν τοῖσι μέλεσι καὶ μὴ οἷός τε ἔῃ [8]διεκδῦναι ἔξω ὑπὸ τοῦ φλέγματος· ἀΐσσων [9]δὲ διὰ τοῦ αἵματος ἄνω καὶ κάτω σπασμὸν ἐμποιέει καὶ ὀδύνην, διὸ λακτίζει. Ταῦτα δὲ πάσχει πάντα, [10]ὁκόταν τὸ φλέγμα ψυχρὸν παραῤῥυῇ ἐς τὸ αἷμα θερμὸν ἐόν· ἀποψύχει γὰρ καὶ ἵστησι τὸ αἷμα· [11]κἢν μὲν τὸ ῥεῦμα πουλὺ ἔῃ καὶ παχὺ, αὐτίκα ἀποκτείνει· κρατέει γὰρ τοῦ αἵματος τῷ [12]ψύχει καὶ πήγνυσιν· ἢν δὲ ἔλασσον ἔῃ, τὸ μὲν παραυτίκα κρατέει ἀποφράξαν τὴν ἀναπνοήν· ἔπειτα τῷ χρόνῳ ὁκόταν σκεδασθῇ κατὰ τὰς φλέβας καὶ μιγῇ τῷ αἵματι πολλῷ ἐόντι καὶ θερμῷ, ἢν κρατηθῇ οὕτως, ἐδέξαντο τὸν ἠέρα [13]αἱ φλέβες, καὶ ἐφρόνησαν.

8. Καὶ ὁκόσα μὲν παιδία σμικρὰ κατάληπτα [14]γίνεται τῇ νούσῳ ταύτῃ, τὰ πολλὰ ἀποθνήσει, ἢν πουλὺ τὸ ῥεῦμα ἐπιγένηται καὶ νότιον ἔῃ· τὰ γὰρ φλέβια λεπτὰ ἐόντα οὐ [15]δύναται παραδέχεσθαι τὸ

[1] Τοῦ om. θι. – ἀτρεμήσαντος EGJKZQ'ικλ. – οὐ pro μὴ EHXθικλ, Ald. – μὴ om. (F, restit. alia manu) GIJKZ. – διαδεχομένου FJKZκ, Ald. – ἐώθεε Dietz. — [2] Post ὀφθ. addunt δὲ θικλ. – σφύζονται vulg. – σφίγγονται Foes ex conject. in notis, Lind. – σφύζοντος (E, al. manu σφύζονται) Χλ. – σφυζόντων (H, al. manu σφύζονται) θικ. — [3] δ' θ. – πλεύμονος θ, Dietz. – πν. vulg. – ἐσίῃ θ, Dietz. – εἰσίῃ vulg. – ἑωυτὸν vulg. – αὐτὸν θικ. — [4] ἀφαίρει J. – ἀφρίει θ. — [5] τῆς ἄνω κοιλίης θ. – φλέβας pro φρένας θι. – καὶ τοῦ στομάχου καὶ τῆς γαστρὸς κατειλημμένων θικ. — [6] δ' ὅταν θικ. – ἐσίῃ θ, Dietz. – εἰσίῃ vulg. — [7] σῶμα θκ. – ἐώθεε Dietz. – δὲ καὶ J. – ὅταν θ. – ἠὴρ Lind., Mack., Dietz. – σκέλεσι (EH, al. manu μέλεσι) Χθικλ, Ald. – ἀποκλεισθῇ.... ἀΐσσων om. J. – τ' ἔῃ θ. — [8] διεκδυῆναι vulg. – διεκδῦναι Χιλ. – διεκδύναι θ. — [9] δὲ διὰ θικ, Mack. – δὲ om. vulg. – διὰ τοῦ αἵματος ἀΐσσων λ. – ἀπὸ pro διὰ τοῦ J. — [10] ὅποι ἂν pro ὁκόταν θι. – παραρρυῇ ψυχρὸν θι. — [11] καὶ ἢν μὲν πολὺ ᾖ τὸ ῥεῦμα καὶ παχὺ θι. — [12] ψυχρῷ θι. – ἢν δ' ἔλασσον ᾖ θ. – ᾖ ι. – εἴη κ. – ἀποφράξαι GZ. – ἀναπνοιὴν FHIJKZ, Ald. – ὁπόταν θ. – σκιδνασθῇ vulg. – σκεδασθῇ EH

perd la voix et la connaissance. Les mains deviennent impuissantes et se tordent, vu que le sang demeure immobile et ne se répand pas comme à son ordinaire. Les yeux divergent parce que les veines ne reçoivent plus l'air et battent. L'écume qui sort de la bouche provient du poumon ; car, l'air n'y pénétrant pas, cet organe jette de l'écume et bouillone comme si la mort approchait. Les excréments sortent par la force de la suffocation, suffocation qui est le résultat de la pression du foie et du ventre en haut contre le diaphragme et du resserrement du conduit (*œsophage*) de l'estomac. Cette pression survient quand le souffle n'entre pas dans la bouche comme à l'ordinaire. Le malade frappe des pieds parce que l'air est intercepté dans les membres et ne peut s'en dégager à cause du phlegme. L'air, s'agitant en haut et en bas dans le sang, cause spasme et douleur ; de là les coups de pieds. Tous ces accidents s'offrent à la fois quand le phlegme froid coule dans le sang, qui est chaud ; il le refroidit et l'arrête. Si le flux est abondant et épais, la mort est immédiate, car il triomphe du sang par le froid et le coagule ; s'il est moindre, dans le moment il a le dessus, interceptant la respiration ; puis, au bout de quelque temps, s'étant répandu dans les veines et mêlé au sang, qui est abondant et chaud, il a le dessous, les veines admettent l'air et la connaissance revient.

8. (*Chez les enfants très-petits les accidents sus-énumérés causent la mort, ou, s'ils sont moindres, laissent des traces, paralysie, faiblesse, contractures.*) Les enfants tout petits qui sont pris de cette affection, succombent pour la plupart, si la fluxion est considérable et que le vent souffle du midi. Les

IJKLXθικλ, Dietz. – Dans la collation de Dietz on lit : Accedunt abhinc variæ lectiones codicis 4 Vaticani ; est fragmentum unius folii vermibus corrosi. — [13] αἱ om. ικ. – ἐφλέβες (sic) pro αἱ φλέβες θ. – ἡ φρόνησις pro ἐφρόνησαν K. – ὅσα θ. – ὅσα μὲν σμικρὰ παιδία μ. – σμικρὰ om. θ. — [14] γίνονται J. – πολὺ θ. – πνεῦμα pro ῥεῦμα FG (H, al. manu ῥεῦμα) IJLZ. – φλέγμα pro ῥεῦμα K. – ἐστὶ pro ἔῃ EFIJKXZλ, Ald. – ἔῃ om. (H, al. manu ἐστὶ) θ. — [15] δύνανται Xλ. – ὑποδέχεσθαι θικ. – ἀλλὰ θ, Dietz. – παχέος FI.

φλέγμα ὑπὸ πάχεος καὶ πλήθεος, ἀλλ' ἀποψύχεται καὶ [1]πήγνυται τὸ αἷμα, καὶ οὕτως ἀποθνήσκει. Ἢν δὲ [2]ὀλίγον ἐὸν ἐς ἀμφοτέρας τὰς φλέβας τὸν κατάῤῥοον ποιήσηται, ἢ ἐς [3]τὰς ἐπὶ θάτερα, περιγίνεται ἐπίσημα ἐόντα· ἢ γὰρ στόμα παρέσπασται ἢ ὀφθαλμὸς ἢ αὐχὴν ἢ χεὶρ, [4]ὁκόθεν ἂν τὸ φλέβιον πληρωθὲν τοῦ φλέγματος κρατηθῇ καὶ [5]ἀπισχνωθῇ. Τούτῳ οὖν τῷ φλεβίῳ ἀνάγκη ἀσθενέστερον εἶναι καὶ ἐνδεέστερον τοῦτο τοῦ σώματος τὸ βλαβέν· ἐς δὲ τὸν [6]πλείονα χρόνον ὠφελέει ὡς ἐπὶ τὸ πουλύ· οὐ γὰρ ἔτι ἐπίληπτον γίνεται, ἢν ἅπαξ ἐπισημανθῇ, διὰ τόδε· ὑπὸ τῆς ἀνάγκης ταύτης αἱ φλέβες αἱ λοιπαὶ κακοῦνται καὶ μέρος τι [7]συνισχναίνονται, ὡς τὸν μὲν ἠέρα δέχεσθαι, τὸν δὲ τοῦ φλέγματος κατάῤῥοον μηκέτι ὁμοίως ἐπικαταῤῥέειν· ἀσθενέστερα [8]μέντοι τὰ μέλεα εἰκὸς εἶναι, τῶν φλεβῶν κακωθεισέων. [9]Ὁκόσοισι δ' ἂν βόρειόν τε καὶ πάνυ ὀλίγον παραῤῥυῇ καὶ ἐς τὰ δεξιὰ, ἀσήμως περιγίνονται· κίνδυνος δὲ [10]ξυντραφῆναι καὶ ξυναυξηθῆναι, ἢν μὴ θεραπευθῶσι τοῖσιν ἐπιτηδείοισιν. Τοῖσι μὲν οὖν παιδίοισιν οὕτω γίνεται, ἢ ὅτι τούτων ἐγγυτάτω.

9. Τοὺς δὲ πρεσβυτέρους οὐκ [11]ἀποκτείνει, ὁκόταν ἐπιγένηται, οὐδὲ διαστρέφει· αἵ τε γὰρ φλέβες εἰσὶ κοῖλαι καὶ αἵματος μεσταὶ θερμοῦ, ἃ [12]οὐδὲ δύναται ἐπικρατῆσαι τὸ φλέγμα, [13]οὐδ' ἀποψῦξαι τὸ αἷμα, ὥστε καὶ πῆξαι, ἀλλ' αὐτὸ κρατέεται καὶ καταμίγνυται τῷ αἵματι ταχέως· καὶ οὕτω παραδέχονται αἱ φλέβες τὸν ἠέρα, καὶ τὸ φρόνημα [14]γίνεται, τά τε σημήϊα τὰ προειρημένα ἧσσον ἐπιλαμβά-

[1] Πνίγεται EXλ. — [2] ὀλίγον ἔη καὶ ἐς EHX (θ et μ, cum ἢ pro ἔη) κλ. – ἔη pro ἐὸν FGIJZ, Ald. – ἐπ' pro ἐς P′, Ald. – ποιήσεται J. — [3] τὰ pro τὰς GHIJKZθκ. – περιγίνονται θκ. – περιγένηται IK. – περιγίνηται FZ, Ald. – τὸ στόμα λ. – παρέσπασται θκ. – παρασπᾶται vulg. – ἡ χεὶρ ἢ αὐχὴν θικ. — [4] ἢ πόθεν pro ὁκόθεν θκ. – ὁπόθεν Xλ. – αὐτὸ pro ἂν τὸ L. – αὐτὸ τὸ φλέβιον Lind. — [5] ἐπισχνανθῇ (EX, mutat. in ἀπισχνωθῇ) Q′. – ἀπισχνανθῇ (H, al. manu ἀπισχνωθῇ) P′θκλ, Lind., Mack. – ἀσθενεστέρω θ. – τουτοίου (sic) pro τοῦτο τοῦ θλ. — [6] πλείω Eθλμ. – ἐπὶ τὸ πουλὺ F, Dietz. – ἐπιτοπολὺ vulg. – Les mss. et Linden mettent le point après τόδε; vulg. le met avant. J'ai suivi les mss. — [7] ξ. Dietz. – ὥστε pro ὡς θ. – τοῦ δὲ pro τὸν δὲ τοῦ H. – τοῦ δὲ φλέγματος τὸν κατάρροον θι. – ἐπικαταρρέειν θμ. – παραῤῥέειν vulg. — [8] μέντοι ὁμοίως vulg. – ὁμοίως om. FGIJKZ. – ἐοικὸς Dietz. – κακωθεισέων KP′θ, Mack, Dietz. – κακωθεισῶν vulg. — [9] ὁκόσοισι (ὅσοισι λ) δ' ἂν (δ' οὐ pro δ' ἂν EQ′λ, Mack) τελείοισί (δ' ἀτελείοισι FGHIJKK′) τε vulg. – κἂν πάνυ δ' ἀτελείοισί τε κ. – οἷσι δ' ἂν βόρειόν τε θμ. – βόρειον est la vraie leçon; comparez p. 374, ligne avant-dern. – κἂν πάνυ EP′Q′. – εἰς θ. — [10] ξυγγραφῆναι μ. – συν-

veines étant menues ne peuvent recevoir une pituite épaisse et abondante, le sang se refroidit et se coagule, et la mort survient. Mais si la fluxion, étant petite, se porte dans les deux veines ou dans celle d'un côté, le sujet survit, mais en conservant des marques de la maladie ; ou la bouche est déviée, ou bien un œil, ou le cou, ou une main, suivant la veine qui, remplie par la pituite, a été surmontée et amoindrie. Nécessairement donc, en raison de cette veine, la partie du corps qui est lésée se trouve plus incomplète et plus faible ; mais c'est un mal qui à la longue a de l'utilité, le sujet n'est plus exposé à l'épilepsie, une fois passée cette explosion du mal. En voici la raison : sous cette influence morbide les autres veines s'altèrent et se contractent dans une certaine proportion, de manière que, tout en recevant encore l'air, elles cessent de recevoir avec la même facilité le flux de pituite. Mais il est évident que, les veines ayant ainsi souffert, les membres doivent devenir plus faibles. Si au contraire il se fait une fluxion très-peu considérable pendant le vent du nord et du côté droit, le patient réchappe sans en conserver de marque ; mais il est à craindre que le mal ne se nourrisse et ne s'accroisse avec le sujet si on ne le combat par des remèdes appropriés. C'est de cette façon ou d'une façon très-analogue que les choses se passent chez les enfants.



9. (*L'épilepsie est moins grave chez les adultes ; elle reprend de la gravité chez les vieillards.*) Mais à un âge plus avancé, l'épilepsie, quand elle survient, ne cause ni la mort ni des distorsions ; en effet, les veines sont amples et pleines d'un sang chaud. La pituite ne peut ni l'emporter ni refroidir le sang de manière à le coaguler ; au contraire elle est promptement vaincue et se mêle au sang. De la sorte, les veines reçoivent

γραφῆναι καὶ συναυξηθῆναι θ. – τοῖς ἐπιτηδίοισι θ. – ἐπιτηδέοισι Dietz. – νῦν pro οὖν θ. – ἐγγύτατα θμ. — [11] ἀποκτένει GJKZ, Ald. – ὅταν θμ. – ἦν pro ὁκόταν J. – διαστρέφη E. – ἅ θμ. – διότι (ὅτι EFGHIJXZλ, Ald.) pro ἃ vulg. — [12] οὐ GHJKXZθ, Ald. – κρατῆσαι K. — [13] οὐδὲ θ, Dietz. – καταμήγνυται θμ. — [14] ἐγγίνεται μ. – ἐνγίνεται θ. – σημεῖα θμ. – πρεσβυτάτοις θ. – ὅταν θμ.

νει διὰ τὴν ἰσχύν. Τοῖσι δὲ πρεσβυτάτοισιν ὁκόταν [1] ἐπιγένηται τοῦτο τὸ νούσημα, διὰ τοῦτο ἀποκτείνει ἢ παράπληκτον ποιέει, ὅτι αἱ φλέβες κεκένωνται καὶ τὸ αἷμα ὀλίγον [2] τέ ἐστι καὶ λεπτὸν καὶ ὑδαρές. Ἢν μὲν οὖν [3] πολὺ καταῤῥυῇ καὶ χειμῶνος ἔῃ καιρὸς, ἀποκτείνει· ἀπέπνιξε γὰρ τὰς ἀναπνοὰς καὶ ἀπέπηξε τὸ αἷμα, ἢν ἐπ' ἀμφότερα ὁ [4] κατάῤῥοος γένηται· ἢν δὲ ἐπὶ θάτερα μοῦνον, παράπληκτον ποιέει· οὐ γὰρ δύναται τὸ αἷμα ἐπικρατῆσαι τοῦ φλέγματος λεπτὸν ἐὸν καὶ ψυχρὸν καὶ ὀλίγον, ἀλλ' αὐτὸ κρατηθὲν ἐπάγη, ὥστε ἀκρατέα εἶναι [5] ἐκεῖνα καθ' ἃ τὸ αἷμα διεφθάρη.

10. Ἐς δὲ τὰ δεξιὰ μᾶλλον καταῤῥέει ἢ ἐς τὰ ἀριστερὰ, ὅτι αἱ φλέβες εἰσὶ [6] κοιλότεραι καὶ πλέονες ἢ ἐν τοῖσιν ἀριστεροῖσιν· [7] ἀπὸ γὰρ τοῦ ἥπατος τείνουσι καὶ ἀπὸ τοῦ σπληνός. Ἐπικαταῤῥέει δὲ καὶ ἀποτήκεται τοῖσι μὲν παιδίοισι μάλιστα, [8] οἷσιν ἂν διαθερμανθῇ ἡ κεφαλὴ ἤν τε ὑπὸ ἡλίου, ἤν τε ὑπὸ πυρὸς, καὶ ἐξαπίνης φρίξῃ ὁ ἐγκέφαλος· [9] τότε γὰρ ἀποκρίνεται τὸ φλέγμα. Ἀποτήκεται μὲν γὰρ [10] ἐκ τῆς θέρμης καὶ διαχύσιος τοῦ ἐγκεφάλου· [11] ἀποκρίνεται δὲ ἀπὸ τῆς ψύξιός τε καὶ ξυστάσιος, καὶ οὕτως ἐπικαταῤῥέει. Τοῖσι μὲν αὕτη ἡ πρόφασις γίνεται, τοῖσι δὲ καὶ ἐπειδὰν ἐξαπίνης μετὰ βόρεια πνεύματα νότος μεταλάβῃ, [12] ξυνεστηκότα τὸν ἐγκέφαλον καὶ εὐσθενέοντα ἔλυσε καὶ ἐχάλασεν ἐξαίφνης, ὥστε πλημμυρεῖν τὸ φλέγμα,

[1] Γένηται GJZ. – νούσημα F. – νόσημα vulg. – τόδε pro τοῦτο θμ. — [2] τε om. Xλ. – Desinit post ὑδαρὲς fragmentum in codice 24, id est λ. — [3] πουλὺ Lind., Mack, Dietz. – ᾖ (ἔῃ X, Dietz) vulg. – ἔῃ om. FGIJKZ, Ald. – ἔῃ καιρὸς om. (H, καιρὸς restit. al. manu) θμ. – ἀπέρραξε pro ἀπέπνιξε θ. — [4] κατάρροος Fθ, Lind., Dietz. – κατάρρος vulg. – δ' ἐπὶ θ. — [5] ἐκεῖνα om. Dietz. – κεῖνα θμ. – καθὰ θ. – κατ' ἃ Dietz. – διαφθαρῇ vulg. – διεφθαρῇ (sic) L. – διεφθάρῃ θ, Lind., Dietz. – καταῤῥέῃ Ald. — [6] ἐπικοιλότεραί εἰσι θμ. – πλέονες θμ. – πλείονες vulg. – τοῖς ἀριστεροῖς θμ. — [7] ὅτι ἀπὸ τοῦ ἥπατος θ (αἵματος pro ἥπατος μ). – ηκαι (sic) pro καὶ θ. – Peut-être faut-il lire ὅτι ἀπὸ τοῦ ἥπατος, αἱ δὲ ἀπὸ τοῦ σπληνός. Dietz a ajouté une négation : καὶ οὐκ ἀπὸ τοῦ σπληνός. – ἐπικαταῤῥεῖ θ. – ἐπικαταῤῥέει.... ποιέεται om. FGIJKZ. — [8] οἷσι δ' (δὲ Dietz) ἂν vulg. – οἷς ἂν θμ. – ἤν τε καὶ ἐξαπίνης vulg. – J'ai supprimé ἤν τε, sans ms. il est vrai ; mais le sens l'exige. Voici le raisonnement tel qu'il résulte de la phrase suivante : la chaleur fond la pituite, le froid la sépare, et alors le flux s'opère. Il faut donc supprimer cet ἤν τε, qui a pu si facilement s'introduire, à cause des ἤν τε qui précèdent immédiatement. Avec cet ἤν τε le raisonnement ne se suit plus ; car alors c'est ou le froid ou le chaud qui cause le flux de pituite, tandis que l'auteur entend que deux circonstances sont exigées pour ce flux : le chaud qui fond, le froid

l'air, l'intelligence ne se perd pas, et les signes indiqués plus haut se manifestent avec moins de force à cause de la vigueur du sujet. A un âge tout à fait avancé, l'épilepsie, si elle survient, cause la mort ou la paralysie, parce que les veines sont vides et que le sang est en petite quantité, ténu et aqueux. Si donc la fluxion se fait avec abondance et pendant l'hiver, elle tue; car elle obstrue les issues et congèle le sang, si elle s'opère des deux côtés; elle paralyse si elle ne s'opère que d'un côté. En effet, le sang, étant ténu, froid et peu abondant, ne peut vaincre la pituite, mais, vaincu lui-même, il se congèle, et les parties où le sang a subi cette altération deviennent impuissantes.

10. (*Prédispositions à l'épilepsie et causes de cette affection.*) La fluxion se fait plus souvent à droite qu'à gauche, parce que les veines sont, à droite, plus amples et plus nombreuses; en effet les veines viennent du foie et de la rate. La fluxion et la fonte d'humeur surviennent chez les enfants surtout, quand ils ont eu la tête échauffée par le soleil ou par le feu et qu'un froid subit a saisi le cerveau. Alors en effet la pituite se sépare. Elle se fond par la chaleur et la dilatation du cerveau, elle se sépare par le refroidissement et la contraction; et c'est ainsi que s'opère la fluxion. Chez les uns telle est la cause déterminante; chez d'autres, c'est quand le vent du midi, succédant subitement à des vents du nord, détend et relâche subitement le cerveau resserré et vigoureux, de sorte que la pituite abonde et que la fluxion s'opère. Une cause non apparente peut encore la pro-

qui sépare. Comparez, p. 380, l. 8, un passage qui appuie formellement cette correction. — [9] καὶ τότε vulg. – τότε γὰρ θμ. – ἀποκρίνεται, al. manu ἀποκρίσεται E. – ἀποκρίσεται Ald. — [10] ἀπὸ τῆς θερμασίης θμ. – διαχύσεως θ. — [11] ἐκκρίνεται θμ. – ὑπὸ τῆς ψύξεως θμ. – ψύχιος EX. – ἐπικαταρρεῖ θ. – τοῖσι Hθ, Lind., Mack, Dietz. – τοῖς vulg. – ἐπειδὰν καὶ θμ. – βορήϊα Dietz. – μεταλάβη θμ. – μεταβάλῃ vulg. – μεταβάλλη Xx. – μεταβάλλει, in marg. μεταλάβη H. — [12] συν. θ. – ἀσθενέοντα vulg. – ἀσθενέα ὄντα θμ. – εὐσθενέοντα al. manu H. – Le correcteur inconnu qui a ainsi retouché le texte de H me paraît avoir mis le doigt sur la véritable leçon. – ἐξαίφνης om. θμ. – πλημμυρέειν Dietz. – πλημμυρῆν θμ. – κατάρροπον, al. manu κατάρροον H.

καὶ οὕτω τὸν κατάῤῥοον ποιέεται. Ἐπικαταῤῥέει δὲ [1] καὶ ἐξ ἀδήλου, φόβου γινομένου, ἢν δείσῃ βοήσαντός τινος, ἢ [2] καὶ μεταξὺ κλαίων μὴ οἷός τε ἔῃ τὸ πνεῦμα ταχέως ἀναλαβεῖν, οἷα γίνεται παιδίοισι πολλάκις· [3] ὅ τι δ' ἂν τούτων αὐτῷ γένηται, εὐθὺς ἔφριξε τὸ σῶμα, καὶ ἄφωνος γενόμενος τὸ πνεῦμα οὐχ εἵλκυσεν, ἀλλὰ [4] τὸ πνεῦμα ἠρέμησε, καὶ ὁ ἐγκέφαλος [5] ξυνέστη, καὶ τὸ αἷμα [6] ἔστη, καὶ οὕτως ἀπεκρίθη καὶ ἐπικατεῤῥύη τὸ φλέγμα. Τοῖσι μὲν παιδίοισιν αὗται αἱ προφάσιες τῆς ἐπιλήψιός εἰσι τὴν ἀρχήν. Τοῖσι δὲ πρεσβύτῃσιν [7] ὁ χειμὼν πολεμιώτατός ἐστιν· ὅταν γὰρ παρὰ πυρὶ πολλῷ διαθερμανθῇ τὴν κεφαλὴν καὶ τὸν ἐγκέφαλον, ἔπειτα ἐν ψύχει γένηται καὶ ῥιγώσῃ, [8] ἢ καὶ ἐκ ψύχεος εἰς ἀλέην ἔλθῃ καὶ παρὰ πυρὶ καθίσῃ, [9] τωὐτὸ τοῦτο πάσχει, καὶ οὕτως ἐπίληπτος γίνεται κατὰ τὰ προειρημένα. Κίνδυνος δὲ πολὺς καὶ ἦρος [10] παθέειν τωὐτὸ τοῦτο, ἢν ἡλιωθῇ ἡ κεφαλή· τοῦ δὲ θέρεος ἥκιστα, οὐ γὰρ γίνονται μεταβολαὶ ἐξαπιναῖοι. Ὁκόταν δὲ εἴκοσιν ἔτεα παρέλθῃ, οὐκ ἔτι ἡ νοῦσος αὕτη ἐπιλαμβάνει, ἢν μὴ ἐκ παιδίου [11] ξύντροφος ἔῃ, ἀλλ' ἢ ὀλίγους ἢ οὐδένα· αἱ γὰρ φλέβες μεσταί εἰσιν αἵματος, καὶ ὁ ἐγκέφαλος συνέστηκε καὶ ἐστὶ [12] στρυφνὸς, ὥστε οὐκ ἐπικαταῤῥέει ἐπὶ τὰς φλέβας· ἢν [13] δ' ἐπικαταῤῥύῃ, τοῦ αἵματος οὐκ ἐπικρατέει, πολλοῦ καὶ θερμοῦ ἐόντος.

11. Ὧι δὲ ἀπὸ παιδίου συνηύξηται καὶ [14] συντέτροφεν, ἔθος πεποίηται ἐν τῇσι μεταβολῇσι τῶν πνευμάτων τοῦτο πάσχειν καὶ ἐπίλη-

[1] Καὶ om. Lind. – ἢν δείσῃ μὲν ἢ βοήσαντος FHJK, Lind., Mack, Dietz. – ἢν δείσημεν ἢ βοήσαντος vulg. – καὶ ἢν δείσῃ βοήσαντος θμ. — [2] καὶ om. (H, restit. al. manu) θμ. – ἢ θμ. — [3] ὅ τι ἂν vulg. – ὅτι δ' ἂν θμ. – Ante τούτων addunt ἀπὸ EG (H, al. manu) IJKZ. – τουτέων Mack. – αὐτῶ θμ, Lind. – αὐτῶν vulg. – γίνεται vulg. (H, al. manu γίνηται). – γίνηται FIKZ, Frob., Mack. – γένηται θμ, Dietz. – ἔφιξε (sic) Ald. — [4] τὸ om. J. – ἠρέμισε vulg. – ἠρέμησε EJKX, Mack. – ἠρέμασε θμ. — [5] συνέστη θ. — [6] ἐστάθη θμ. – ἐπικαταῤῥέει Mack. – ἐπικαταῤῥύει Ald. – ἐπιληψίης θμ. — [7] ὁ θμ. – ὁ om. vulg. – χιμὼν θ. – ἐμψύχει pro ἐν ψ. H. – ῥιγώσει FG, Ald. — [8] ἢ θ. – ἢ om. vulg. – ψύξεως X. – ἐς Lind., Dietz. – πυρὶ E (H, al. manu πῦρ) Xκ. – πῦρ vulg. – παρὰ πῦρ πολὺ θ. – πολὺ pro πυρὶ ι. – κατίσῃ Dietz. – καθίσῃ om. (F, restit. al. manu) θικ. — [9] καὶ αὐτὸ τοῦτο vulg. – τὸ αὐτὸ τοῦτο sine καὶ EFGIJKZθ. – ταυτὸ τοῦτο sine καὶ L, Lind. – τωὐτὸ τοῦτο sine καὶ HX. – τὸ τοῦτο sine καὶ ικ. – πουλὺς Lind., Mack, Dietz. — [10] παθεῖν θ. – παραθέειν F (G, gloss. παρατρέχειν) IJKZ. – τωὐτὸ (H, al. manu τὸ αὐτὸ) θ, Dietz. – ταὐτὸ P'Q', Lind., Mack. – τὸ αὐτὸ vulg. – ἡλιασθῇ Q'. – ἡλιαθῇ P', Mack. – τὸ δὲ θέρος θμ. – δὲ om. X. – ἐξαπιναῖαι EX. – ἐξάπινοι I. – ὅταν θ. — [11] ξ. θ, Dietz. – σ. vulg. – ἢ θμ. – αἵματος μεσταὶ πολλοῦ εἰσιν θ. – αἵματος μεσταί εἰσι πολλοῦ μ. —

duire, par exemple une crainte, si l'enfant a peur de quelqu'un qui crie, ou encore l'impossibilité de reprendre promptement haleine dans l'intervalle de cris et de pleurs, ce qui arrive souvent à cet âge. Sous l'influence d'une quelconque de ces causes, le corps est saisi d'un froid soudain, le sujet, perdant la voix, ne respire plus; dès lors le souffle demeure en repos, le cerveau se resserre, le sang s'arrête, et ainsi la pituite se sépare et s'écoule. Ce sont là chez les enfants les causes déterminantes de l'épilepsie au commencement. Chez les personnes âgées l'hiver est la saison la plus défavorable; en effet, quand ces personnes, s'étant échauffé la tête et le cerveau près d'un grand feu, viennent à l'air libre et sont saisies du froid, ou réciproquement si elles passent du froid à un lieu couvert et se mettent auprès du feu, elles éprouvent les mêmes accidents et deviennent épileptiques comme il a été dit plus haut. Le danger est grand encore de contracter cette maladie pendant le printemps, si la tête est frappée par le soleil. C'est en été que le risque est le moindre, vu qu'alors il n'y a point de brusque changement. Passé vingt ans on n'est guère attaqué de cette maladie, à moins que le germe n'en date de l'enfance; et elle ne survient que chez peu ou point de sujets; alors les veines sont pleines de sang, le cerveau est consistant et compact, de sorte qu'il ne se fait point de fluxion dans les veines; ou, s'il s'en fait, la fluxion ne triomphe pas du sang, qui est abondant et chaud.

11. (*L'épilepsie est due à une accumulation de liquide dans la tête; c'est ce que prouve l'ouverture du crâne des chèvres épileptiques. Argument tiré de ce fait contre ceux qui disent que cette maladie est de nature divine.*) Mais celui chez qui le germe date de l'enfance et a grandi, prend l'habitude d'éprouver ces accidents aux changements de vents. C'est alors la plu-

[12] στριφνὸς HJK. – στιφρὸς θμ. – ὥστ' θ. – ἐπικαταῤῥυῇ Lind. – ἐς τὰς φλέβας ταύτας θμ. — [13] δὲ F, Dietz. – ἐπικαταρροίῃ X. – κατακρατέει Hιx. – κρατέει θ. – ἐόντος καὶ θερμοῦ Hθμ. – ξυνηύξηται Dietz. — [14] συνέτροφεν vulg. – συντέτροφεν EHx, Mack. – συντέθραπται θι. – πεποίηκεν vulg. – πεποίηται E Hθιx.

πτον [1] ὡς τὰ πολλὰ γίνεσθαι, καὶ μάλιστα ἐν τοῖσι νοτίοισιν· ἥ τε ἀπάλλαξις χαλεπὴ γίνεται· ὁ γὰρ ἐγκέφαλος ὑγρότερος [2] γέγονε τῆς φύσιος καὶ πλημμυρεῖ ὑπὸ τοῦ φλέγματος, ὥστε τοὺς μὲν καταῤῥόους πυκνοτέρους γίνεσθαι, ἐκκριθῆναι δὲ μηκέτι [3] οἷόν τε εἶναι τὸ φλέγμα, μηδὲ ἀναξηρανθῆναι τὸν ἐγκέφαλον, ἀλλὰ διαβεβρέχθαι καὶ εἶναι ὑγρόν. Γνοίη δ' ἄν τις [4] τόδε μάλιστα τοῖσι προβάτοισι τοῖσι καταλήπτοισι γινομένοισιν ὑπὸ τῆς νούσου ταύτης καὶ μάλιστα τῇσιν αἰξίν· αὗται γὰρ πυκνότατα λαμβάνονται· ἢν [5] διακόψῃς τὴν κεφαλὴν, εὑρήσεις τὸν ἐγκέφαλον ὑγρὸν ἐόντα καὶ ὕδρωπος περίπλεων καὶ κακὸν ὄζοντα, καὶ ἐν τούτῳ δηλονότι [6] γνώσῃ ὅτι οὐχ ὁ θεὸς τὸ σῶμα λυμαίνεται, ἀλλ' ἡ νοῦσος. Οὕτω δ' ἔχει καὶ τῷ ἀνθρώπῳ· [7] ὁκόταν γὰρ ὁ χρόνος γένηται τῇ νούσῳ, οὐκ ἔτι ἰήσιμος γίνεται· διεσθίεται γὰρ ὁ ἐγκέφαλος ὑπὸ τοῦ φλέγματος καὶ τήκεται, τὸ [8] δὲ ἀποτηκόμενον ὕδωρ γίνεται, καὶ περιέχει τὸν ἐγκέφαλον ἐκτὸς καὶ περικλύζει· καὶ διὰ [9] τοῦτο πυκνότερον ἐπίληπτοι γίνονται καὶ ῥᾷον. Διὸ δὴ πουλυχρόνιος ἡ νοῦσος, ὅτι τὸ [10] ἐπιῤῥέον λεπτόν ἐστιν ὑπὸ πολυπληθίης, καὶ εὐθὺς κρατέεται ὑπὸ τοῦ αἵματος καὶ διαθερμαίνεται.

12. [11] Ὁκόσοι δὲ ἤδη ἐθάδες εἰσὶ τῇ νούσῳ, προγινώσκουσιν ὁκόταν μέλλωσι λήψεσθαι, καὶ φεύγουσιν ἐκ τῶν ἀνθρώπων, [12] ἢν μὲν ἐγγὺς αὐτῶν ὁ οἶκος ἔῃ, οἴκαδε, [13] ἢν δὲ μὴ, ἐς τὸ ἐρημότατον, ὅπη μέλλουσιν ὄψεσθαι αὐτὸν ἐλάχιστοι πεσόντα, εὐθύς τε ἐγκαλύπτεται· τοῦτο δὲ ποιέει ὑπ' αἰσχύνης τοῦ πάθεος καὶ οὐχ ὑπὸ φόβου, ὡς οἱ πολλοὶ νομίζουσι, [14] τοῦ δαιμονίου. Τὰ δὲ παιδάρια τὸ μὲν πρῶτον πίπτουσιν ὅπη ἂν τύχωσιν ὑπὸ ἀηθίης· ὅταν δὲ [15] πλεονάκις καταλη-

[1] Γίνεσθαι ὡς τὰ πολλὰ H. – γίνεται ὡς τὰ πολλὰ θ. – γίνεται ι. – ἐν om., restit. al. manu H. — [2] γίνεται vulg. – γέγονε θι. – πλημμυρέει Dietz. – πλημμυρεῖ θ. — [3] οἴονται pro οἷόν τε εἶναι θι. – εἶναι om. (H, restit. al. manu) κ. – διαβρέχεσθαι vulg. – διαβεβρέχθαι θι. — [4] τῶδε θ. – γινομένοις θμ. – νούσου Hθ, Mack, Dietz. – νόσου vulg. — [5] διακόψας ὁραῖς τὴν κεφαλὴν pro δια. τὴν κεφ., εὑρ. τὸν ἐγκέφαλον θμ. – ὕδρωπος θμ. – ἱδρῶτος vulg. – περίπλεον H. — [6] γνώσει H. – νοῦσος Hθ, Mack, Dietz. – νόσος vulg. – δ' om. θ. — [7] ὅποι ἂν χρόνος ἐγγένηται sine γὰρ ὁ θμ. – ὁ om. EHK. – ἐγγένηται E. – νόσω H. – ἰάσιμος θμ. – ἰήσημος F. — [8] δ' θ. – περιχέει pro περιέχει θμ. — [9] τὸ pro τοῦτο FGJKZ. – καὶ om. FGJKZ. – ῥήϊον Dietz. – In marg. al. manu καὶ διὰ τὸ πυκνότερον ἐπίληπτοι γίνονται ῥᾷον H. – πολυχρόνιος θ. — [10] περιρρέον θμ. – πολυπληθύης κ. – πολυπληθείης θμ. – πουλυπληθίης Dietz. — [11] ὅσοι θμ. – ὅταν

part du temps que les accidents le prennent, surtout quand souffle le vent du midi. Et la guérison est difficile; car le cerveau est devenu plus humide que dans l'état naturel, et le phlegme y abonde. De la sorte, d'une part les fluxions sont plus fréquentes; de l'autre le phlegme ne peut plus être évacué; et le cerveau, incapable de se dessécher, demeure tout pénétré d'humidité. Vous vous en apercevrez très-bien chez les animaux affectés de cette maladie, et particulièrement chez les chèvres, qui y sont le plus exposées : ouvrez la tête, et vous trouverez le cerveau humide, rempli d'eau d'hydropisie et sentant mauvais; et là vous reconnaîtrez évidemment que c'est, non pas la divinité, mais la maladie, qui altère ainsi le corps. Il en est de même pour l'homme aussi; en effet, quand l'épilepsie a duré longtemps, elle n'est plus curable, le cerveau est rongé par la pituite, et il se fond; la portion ainsi fondue devient de l'eau qui entoure au dehors le cerveau et le baigne, ce qui rend les accès plus fréquents et plus faciles. D'autre part, la maladie dure longtemps, parce que le liquide affluant, étant ténu à cause de son abondance, est aussitôt vaincu par le sang et échauffé.

12. (*Les malades pressentent les accès et se cachent; mais ce n'est pas par crainte de la divinité; témoin les enfants.*) Les patients qui sont déjà habitués à la maladie pressentent quand ils vont avoir un accès; ils fuient loin des regards, chez eux, si leur logis est proche; sinon, dans le lieu le plus solitaire, là où leur chûte aura le moins de témoins, et aussitôt ils se cachent. Ils agissent ainsi par honte de leur maladie, et non, comme plusieurs le croient, par crainte de la divinité qui les obsède. Voyez en effet les enfants : d'abord ils tombent là où ils se trouvent, à cause qu'ils ne sont pas habitués; puis,

θμ. – ληφθήσεσθαι θμ. — [12] ἢν μὲν ἐγγὺς ᾖ αὐτῷ τὰ οἰκία οἰκαδὲ θ (οἰκάδε μ). – οἶκτος, γέγρ. in marg. οἶκος κ. — [13] εἰ (H, al. manu ἢν) θμ. – ὄκη (bis) Dietz. – ὄψεσθαι μέλλουσιν H. – μέλλουσιν αὐτὸν ἐλάχιστοι ὄψεσθαι θ. – ἐγκαταλύπτεται (sic) H. – ἐγκαλύπτεσθαι E. — [14] καὶ τοῦ θμ. – τύχῃ θμ. – ἀηθείης K. — [15] πολλάκις θ. – γένωνται θμ. – γίνωνται vulg. – ὃν ἂν pro ὅντινα θμ.

πτοι γένωνται, ἐπειδὰν προαίσθωνται, φεύγουσι παρὰ τὰς μητέρας ἢ παρὰ ἄλλον ὅντινα μάλιστα γινώσκουσιν, ὑπὸ [1] δέους καὶ φόβου τῆς πάθης· τὸ γὰρ αἰσχύνεσθαι παῖδες ὄντες οὔπω γινώσκουσιν.

13. Ἐν δὲ τῇσι μεταβολῇσι τῶν πνευμάτων διὰ τάδε φημὶ ἐπιλήπτους γίνεσθαι, καὶ μάλιστα τοῖσι νοτίοισιν, [2] ἔπειτα τοῖσι βορείοισιν, [3] ἔπειτα τοῖσι λοιποῖσι πνεύμασι· [4] ταῦτα δέ ἐστιν ὅσα τῶν πνευμάτων ἰσχυρότατά ἐστι καὶ ἀλλήλοισιν ἐναντιώτατα κατὰ τὴν στάσιν καὶ κατὰ τὴν δύναμιν. Ὁ μὲν γὰρ βορέης ξυνίστησι τὸν ἠέρα καὶ τὸ θολερόν τε καὶ τὸ [5] νεφῶδες ἐκκρίνει καὶ λαμπρόν τε καὶ διαφανέα ποιέει· κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τἄλλα [6] πάντα ἐκ τῆς θαλάσσης ἀρξάμενα καὶ τῶν ἄλλων ὑδάτων· [7] ἐκκρίνει γὰρ ἐξ ἁπάντων τὴν νοτίδα καὶ τὸ δνοφερὸν, καὶ ἐξ αὐτῶν τῶν ἀνθρώπων, διὸ [8] καὶ ὑγιεινότατός ἐστι τῶν ἀνέμων. Ὁ δὲ νότος τἀναντία τουτέῳ ἐργάζεται· πρῶτον μὲν [9] γὰρ ἄρχεται τὸν ἠέρα ξυνεστεῶτα τήκειν καὶ διαχέειν, καθότι καὶ οὐκ εὐθὺς πνέει μέγας, ἀλλὰ [10] γαληνίζει πρῶτον, ὅτι οὐ δύναται ἐπικρατῆσαι τοῦ ἠέρος αὐτίκα, τοῦ πρόσθεν πυκνοῦ τε ἐόντος καὶ ξυνεστηκότος, ἀλλὰ τῷ χρόνῳ διαλύει· τὸ δ' αὐτὸ τοῦτο καὶ τὴν γῆν ἐργάζεται καὶ [11] τὴν θάλασσαν καὶ τοὺς ποταμοὺς καὶ τὰς κρήνας [12] καὶ τὰ φρέατα καὶ ὅσα φύεται καὶ ἐν οἷσιν ὑγρὸν ἔνεστιν· ἔστι δὲ ἐν παντὶ, ἐν μὲν τῷ πλέον, ἐν δὲ τῷ ἔλασσον· ἅπαντα [13] δὲ ταῦτα αἰσθάνεται τοῦ πνεύματος τούτου, καὶ ἔκ τε λαμπρῶν δνοφερώδεα γίνεται, [14] ἔκ τε ψυχρῶν θερμὰ, καὶ ἐκ ξηρῶν νοτώδεα· ὁκόσα τε ἐ

[1] Δέου G. – δέεος Dietz. – παῖδες ὄντες om. (H, restit. al. manu) θμ. – ἐόντες Dietz. – οὔκω Dietz. – οὐ pro οὔπω G. — [2] ἔπειτα καὶ vulg. – καὶ om. EH θμ. – ἔπειτα om. J. – βορίοισι θμ. – βορηΐοισι Dietz. — [3] ἔπειτα καὶ vulg. – καὶ om. EHθιχ. — [4] ταῦτα γὰρ τῶν λοιπῶν πνευμάτων θμ. – ἀλλήλοις θ. – δ' ἐστὶ H. – μετὰ pro κατὰ Lind. — [5] νεφρῶδες Ald. – νοτῶδες θμ. – λαμπρότερον, sine τε vulg. – λαμπρόν τε EHθιχ. – διαφανέα EFGHIJKZθ, Ald. διαφανὲς vulg. — [6] πάντα om., restit. al. manu H. – τὰ ἐκ vulg. – τὰ om. EH GHZθμ, Ald. – θαλάττης θμ. – ἐξάρμενα Codex Mediceus ap. Mack. – D'après tous les traducteurs cette phrase signifie que les vents qui s'élèvent de la mer et des autres eaux exercent la même influence pour purifier l'air que le vent du nord. Pour moi, je pense que le sens est tout différent; l'auteur a voulu dire que le vent du nord exerce sur tout ce qui s'élève de la mer et des eaux une influence purifiante comme il l'exerce sur l'air. Ce sens me paraît seul s'accommoder avec ce qui suit. — [7] ἐκκρινεῖ θμ. – καὶ γὰρ ἐξ αὐτῶν θμ. – τῶν om. E. — [8] καὶ om. θμ. – ὑγιηρότατος θμ. – τἀντία θ. – τούτῳ vulg. – τουτέω θμ. — [9] γὰρ om. θμ. – συνεστηκότα θ. – ξυνεστηκότα μ. – κατα

quand ils ont eu plusieurs accès, ils pressentent l'attaque et s'enfuient près de leur mère ou de la personne qu'ils connaissent le plus, et cela par la terreur du mal qui les menace ; car, à des enfants, la honte est encore étrangère.

13. (*Influence des vents sur l'épilepsie.*) C'est dans les changements de vents que l'épilepsie se produit. Au premier rang sont les vents du midi, puis viennent les vents du nord, ensuite les autres vents. En effet les vents du midi et du nord sont les plus forts et les plus opposés pour la lutte et la puissance. Voici, suivant moi, la raison de cette influence : le vent du nord contracte l'air, en dissipe la partie brumeuse et nuageuse, et le rend clair et transparent ; il exerce une même action purifiante sur tout ce qui s'élève de la mer et des eaux ; en effet, de tout, même du corps de l'homme, il sépare ce qui est humide et trouble, aussi est-il le plus salubre des vents. Celui du midi a des effets contraires ; d'abord il commence par fondre et raréfier l'air condensé, ne soufflant pas tout aussitôt avec force, mais, au début, apportant la tranquillité, vu qu'il ne peut au premier moment triompher de l'air devenu antérieurement dense et resserré. Cependant peu à peu il le dissout ; il exerce la même influence sur la terre, sur la mer, sur les fleuves, sur les fontaines, sur les puits, sur tout ce que le sol engendre, sur tout ce qui renferme de l'humidité ; or, tout en renferme, ici plus, là moins. Tout donc se sent de ce

τήκειν καὶ διαχεῖν θ. – κατότι Dietz. – πνεῖ θ. — [10] λαγανίζει vulg. – λαγανίζει, ἤγουν χρωματίζει, λάγανον γὰρ εἶδος πλακοῦντος P'. – γαληνίζει θμ. – Schneider, dans son Dict., dit : « λαγανίζει est dit du vent qui commence peu à peu, dans Hippocrate, de Morbo sacro ; mot douteux, qui devrait plutôt être λαγαρίζει ou λαγγανίζει dans le sens de λαγγάζω. » Les leçons de θμ donnent la vraie lecture. – ὅτε πρῶτον P'Q'. – ὅτι πρῶτον pro πρῶτον, ὅτι Lind. – δύνεται (sic) H. – ἐπικρατῆσαι αὐτίκα τοῦ πρόσθεν ἠέρος πυκνοῦ τε ἐόντος θμ. — [11] τὴν om. EH. – τοὺς om. EHθμ. – τὰς om. EHθμ. — [12] καὶ om. G. – τὰ om. EFHIJKZθμ. – ἐν οἷς τι ὑγρόν ἐστιν θμ. – ἔστι δ' (δὲ μ) ἐν παντὶ, ἐν τῷ μὲν πλέον, ἐν τῷ δ' (δὲ μ) ἔλασσον θμ. – ἐν παντὶ om. K. — [13] γὰρ pro δὲ L, Lind. – δνοφώδεα θμ. – δνοφερέα L, Lind., Mack. – δνοφερωρέα (sic) Cod. Scalig. ex schedis Kühnii. – γνοφερώδεα K. — [14] καὶ ἐκ pro ἔκ τε EHθμ. – ὅσα δ' ἐν οἰκίμασι θ (οἰκήμασι μ). – κεράμεα θικ.

parties gonflées par la plaie, dans ces cas, quelle que soit l'application médicamenteuse qu'on juge convenable, il faut la faire non sur la plaie même, mais sur les parties voisines, afin que le pus ait une issue et que ce qui est induré s'amollisse. Quand le ramollissement sera accompli et que l'inflammation aura cessé, on appliquera des éponges sur les parties décollées qu'on rapprochera, commençant le bandage en empiétant un peu sur les parties saines; par-dessus l'éponge on mettra des feuilles en abondance. Quant à ce qui ne peut se recoller, l'obstacle est dans l'humidité des chairs; on les excisera. Si la plaie pénètre profondément sous les chairs, une double cause, le bandage et la masse superposée, tend à la rendre variqueuse (*à l'engorger; voy. note* 6); dans ce cas, l'incision étant résolue, il faut la faire, s'il y a lieu, sur la sonde à partir de l'entrée de la plaie, selon les conditions de la lésion, de manière à y rendre facile l'écoulement des liquides; l'incision pratiquée, on emploiera le traitement qu'on jugera nécessaire. Généralement, en toute plaie qui a un sinus direct, on voit complétement l'état des parties, pourvu qu'il n'y ait point de tuméfaction; mais si le sinus n'est pas direct ou s'il y a tuméfaction, la plaie elle-même et les parties voi-

duirait : ***Dans toute plaie dont le sinus n'est pas droit et accessible à la vue à cause de la tuméfaction, s'il s'y forme de la corruption à l'intérieur, etc.*** Mais, remarquant que ce déplacement, qui d'ailleurs n'est pas une faute très-commune de la part des copistes, rend peu satisfaisante l'apposition : οἰδήματος προσεόντος, remarquant en outre que le copiste de qui provient la copie de ce traité mère de nos mss. a souvent péché en omettant de longs membres de phrase entre deux mêmes mots (voy. p. 404, n. 12, et p. 402, n. 8); j'ai pensé qu'ici encore il y avait une lacune causée par la présence d'un second προσεόντος. J'ai mis entre crochets ce que j'ai ajouté. Quant à la correction de καταφανέα en καταφανὲς, elle me paraît commandée et par la marche de la phrase, qui indique qu'ici doit être le membre principal, et par l'apposition : οἰδήματος μὴ προσεόντος, qui indique une restriction : *pourvu qu'il n'y ait pas de gonflement*. On comprend très-bien comment κοιλίην a pu engager quelque copiste à changer καταφανὲς, si c'est, comme je crois, la bonne leçon, en καταφανέα. — [11] εἴ EQ'. – εἴη vulg. – μυδῶσα ἐχρέουσα· μυδᾶν γὰρ λέγεται τὸ ἐχρεῖν τὰ στερεὰ σώματα καὶ οἷον μαδᾶν· ὥσπερ τριχῶν ἀποπτόντων τῶν σωμάτων (sic) in marg. E. – ἐστὶ K. – μέλανα H, Kühn. – μέλαινα vulg.

τοῦτο τὸ ἕλκος καὶ τὰ περιέχοντα τὸ ἕλκος ἰδεῖν μέλανα ὑποπέλια· καὶ τῶν ἐσθιομένων ἑλκέων, ὅπῃ [1]ἂν φαγέδαινα ἐνέῃ, ἰσχυρότατά τε νέμηται καὶ ἐσθίῃ, [2]ταύτῃ τοῦ ἕλκεος τὸ περιέχον χροιὴν ἕξει μέλαιναν ὑποπέλιον.

11. Καταπλάσματα οἰδημάτων καὶ φλεγμασίης τῆς ἐν [3]τοῖσι περιέχουσιν· ἡ ἑφθὴ φλόμος, καὶ τῆς τριφύλλου τὰ φύλλα ὠμὰ, καὶ τοῦ ἐπιπέτρου τὰ φύλλα ἑφθὰ, καὶ τὸ πόλιον· ἢν δὲ [4]καὶ καθαίρεσθαι δέῃ τὸ ἕλκος, παντὰ μὲν καὶ ταῦτα καθαίρει· ἀτὰρ καὶ τῆς συκῆς τὰ φύλλα καὶ τῆς ἐλαίης, καὶ τὸ πράσιον. [5]Ἕψειν δὲ ταῦτα πάντα, μάλιστα δὲ τούτων ἕψειν τὸν ἄγνον, [6]καὶ τὴν συκῆν, καὶ τὴν ἐλαίην, καὶ τῆς σίδης τὰ φύλλα ὡσαύτως ἕψειν. Ὠμοῖσι δὲ [7]τοῖσίδε χρέεσθαι, τῆς μαλάχης τὰ φύλλα τρίβων ξὺν οἴνῳ, καὶ τοῦ πηγάνου τὰ φύλλα καὶ τῆς ὀριγάνου χλωρῆς· πᾶσι τούτοισι χρὴ τοῦ λίνου τὸν καρπὸν φρύξαντα καὶ κόψαντα ὡς λειότατον μιγνύναι. [8]Ὅκου δὲ ἐρυσίπελας κίνδυνος ἐφ' ἕλκεσι γενέσθαι, τῆς ἰσάτιδος τὰ φύλλα τρίβων ὠμὰ καταπλάσσειν σὺν τῷ λίνῳ, [9]ἢ τὸ λίνον δεύων στρύχνου χυλῷ ἢ ἰσάτιδος καταπλάσσειν. [10]Ὅταν δὲ τὸ ἕλκος καθαρὸν μὲν ἔῃ, [11]φλεγμαίνῃ δὲ τό τε ἕλκος καὶ τὰ περιέχοντα τοῦ ἕλκεος, φακὸν ἐν οἴνῳ ἑψήσας καὶ τρίψας λεῖον, ἐλαίῳ ὀλίγῳ φυρήσας, καταπλάσας, ἐπιδεῖν· καὶ τοῦ κυνοσβάτου [12]ἑψήσας τὰ φύλλα ἐν ὕδατι, τρίψας λεῖα, καταπλάσσειν, ὀθόνιον ὑποτείνας λεπτὸν καθαρὸν, οἴνῳ καὶ ἐλαίῳ τέγξας· καὶ ὅταν [13]ξυνάγειν βούλῃ, τοῦ κυνοσβάτου τὰ φύλλα, ὥσπερ τὸν φακὸν σκευάζειν. [14]Σαυρίδιον, οἶνος καὶ λίνου [15]καρπὸς παραμίγνυται

[1]Καὶ ἂν vulg. – καὶ om. Codd., Ald., Frob. – τε om. K. – νέμηται EH. – νέμεται vulg. – ἐσθίῃ E. – ἐσθίει vulg. – περὶ φαγεδαίνης in marg. EH. — [2]καὶ ταύτῃ vulg. – καὶ om. Codd., Ald. – μέλαινα FI. — [3]τοῖσι H, Lind. – τοῖς vulg. – In marg. καταπλάσματα ἑλκῶν G. – ἐπιπέτρου Gal., Meth. IV, 5. — ἐπιπτέρου vulg. – ἐπιπέρου FGJKZ. — [4]καὶ om. K. — [5]ἑψεῖν EHF, Ald., Frob., hic et alibi sæpius. — [6]καὶ om. J. – συκὴν Z. — [7]τοῖσι δὲ, al. manu δεῖ H. – τοῖσι δεῖ vulg. – τρίβειν σὺν J. – Ante τρ. additur καὶ τῆς ὀριγάνου (ὀρυγάνου J) χλ. FGJKL. – καὶ τῆς ὀριγάνου χλωρῆς τρίβων ξὺν οἴνῳ καὶ τοῦ πηγάνου τὰ φύλλα· πᾶσι EZ. – τούτοις J. – μιγνῦναι EH. — [8]περὶ καταπλάσματος ἐρυσιπέλατος in marg. Codd. – δ' H. — [9]καὶ τῶ λίνω IJK. – καὶ GZ. – τῶ λίνω EH. – καταπάσσειν GIJ. — [10]περὶ φλεγμονῆς ἕλκους E. — [11]φλεγμαίνῃ EIJK. – φλεγμαίνει vulg. — [12]τὰ φύλλα ἑψήσας Z. — [13]συνάγειν βούλει J. – τῆς E. — [14]σαυρίδιον ἢ καρδαμὶς βοτάνη in marg. E. — D'après M. Fraas, Synopsis, p. 119, le σαυρίδιον d'Hippocrate et de Galien est l'ἴβηρὶς de Dioscoride, II, 205. — [15]καρπὸς παραμίγνυται λεπτός· καὶ τόδε, ὁ τοῦ λίνου om. FGIJKLZ. – ἐσθιομένου ἕλκεος κατάπλασμα EHIJ.

sines, dans les cas où il se forme à l'intérieur soit de la corruption soit des chairs fongueuses et corrompues, sont d'une apparence noire sublivide. Et dans les ulcères rongeants, c'est aussi là où la phagédène existe, s'étend et ronge avec le plus de force, que les parties voisines prennent une couleur noire sublivide.

11. (*Cataplasmes pour le gonflement des plaies et l'inflammation des parties voisines.*) Cataplasmes pour les tumeurs et l'inflammation dans les parties voisines : le verbascum cuit, les feuilles crues du trèfle, les feuilles cuites de l'épipetron (*sedum acre* ou *album* L.), et le polium (*teucrium polium* L.); s'il faut de plus mondifier la plaie, toutes ces plantes mondifient. Il en est de même des feuilles du figuier, de l'olivier, et du marrube (*marrubium vulgare* L.). On fera cuire tout cela, mais surtout le vitex agnus castus, le figuier, l'olivier; on cuira semblablement les feuilles du grenadier. On emploiera crues les plantes suivantes : les feuilles de la mauve qu'on pilera dans du vin, les feuilles de la rue et de l'origan verd (*origanum heracleoticum* L.); il faut à toutes ces plantes mêler la graine de lin qu'on grillera et qu'on pilera aussi fin que possible. S'il y a danger qu'un érysipèle survienne aux plaies, on pilera les feuilles de la guède (*isatis tinctoria* L.), et on les appliquera crues avec le lin; ou bien, humectant le lin avec le suc soit du strychnos (*solanum nigrum* L.) soit de la guède, on fera le cataplasme. Si la plaie, étant mondifiée, vient à s'enflammer ainsi que les parties voisines, on fera cuire des lentilles dans du vin, on les pilera menu, on les pétrira avec un peu d'huile, on les appliquera en cataplasme, et on mettra un bandage. Ou bien, faisant cuire dans de l'eau les feuilles de l'églantier (*rosa canina* L.) et les pilant menu, on les apposera en cataplasme, étendant par-dessous un linge fin et propre, trempé dans du vin et de l'huile. Quand on veut rapprocher les bords de la plaie, il faut préparer les feuilles de l'églantier comme les lentilles. On mêle la moutarde des paysans (*iberis amara* L.), le vin et la graine de lin pilée. Il y a en-

λεπτός· καὶ τόδε, ὁ τοῦ λίνου καρπὸς, καὶ ἄγνος ὠμὸς, καὶ μηλεία στυπτηρίη, ὄξει ταῦτα δευθέντα.

12. [1]Ὄμφακα λευκὴν ἐς χαλκεῖον θλίψας ἐρυθρὸν δι' ἠθμοῦ, πρὸς ἥλιον τιθέναι τὰς ἡμέρας, τὰς δὲ νύκτας αἴρειν, ὅκως μὴ δροσίζηται, ἀνατρίβειν δὲ τῆς ἡμέρης ἀπαύστως, ὡς ὁμαλῶς ξηραίνηται, καὶ ἀπὸ τοῦ χαλκείου ὡς ὅτι πλεῖστον [2]ἀναλαμβάνῃ, τιθέναι δὲ ἐς τὸν ἥλιον τοσοῦτον χρόνον, ἔστ' ἂν παχὺ γένηται ὥσπερ μέλι· ἔπειτα [3]ἐς χύτρην χαλκῆν ἐγχέαι, καὶ μέλι ὡς κάλλιστον, καὶ οἶνον γλυκὺν, ἐναφεψήσας πρότερον ῥητίνην τερμινθίνην, ἕψειν δὲ τὴν ῥητίνην ἐν τῷ οἴνῳ, [4]ἕως ἂν σκληρὴ γένηται ὥσπερ μέλι ἑφθόν· ἔπειτα τὴν μὲν ῥητίνην ἐξελεῖν, τὸν δὲ οἶνον ξυγχέαι· ἔστω δὲ πλεῖστος μὲν ὁ χυλὸς [5]τῆς ὄμφακος, δεύτερον δὲ ὁ οἶνος, τρίτον δὲ τὸ μέλι· καὶ σμύρναν τὴν στακτὴν και ἄλλως ὡς βελτίστην τρίψας λείην, [6]δίεσθαι τοῦ οἴνου τοῦ αὐτοῦ παρεγχέοντα κατ' ὀλίγον· ἔπειτα ἕψειν αὐτὴν ἐφ' [7]ἑωυτῆς τὴν σμύρναν ξὺν τῷ οἴνῳ ἀνακινέοντα, ὅταν δὲ δοκέῃ ἤδη καλῶς ἔχειν τὸ πάχος, ξυγχέαι ἐς τὸν χυλὸν τῆς ὄμφακος, καὶ νίτρον ὡς ἄριστον φρύξας, ἡσύχως μιγνύναι [8]ἐς τὸ φάρμακον, καὶ ἄνθος χαλκοῦ ἔλασσον τοῦ νίτρου· ταῦτα δὲ ἐπειδὰν μίξῃς, ἕψειν μὴ ἔλασσον τριῶν ἡμερέων, [9]ξύλοισι συκίνοισιν ὡς ὀλίγον ὑποκαίοντα ἢ ἄνθραξιν, ὡς μὴ φρύγηται· καὶ ἐμβαλλόμενα πάντα ἄνυδρα ἔστω, καὶ τὰ ἕλκεα μὴ τεγγέσθω, ὅκη ἂν ἐπαλείφηται τοῦτο τὸ φάρμακον· [10]χρῆσθαι δὲ τούτῳ τῷ φαρμάκῳ πρὸς [11]τὰ πεπαλαιωμένα ἕλκεα, καὶ πρὸς τὰ νεότρωτα, καὶ ἐς πόσθιον, καὶ [12]ἐς κεφαλῆς ἕλκεα καὶ ὠτός. — [13]Φάρμακον ἕτερον τῶν αὐτέων ἑλκέων· χολὴ βοὸς ξηρὴ, μέλι ὡς κάλλιστον, οἶνον

[1] Τραυματικὸν τὸ μέλαν in marg. HJ. - φλίψας H. - ἰθμοῦ FGIJK, Ald. — [2] ἀναλαμβάνει, al. manu ειν H. - ἀναλαμβάνειν vulg. — [3] εἰς E. - τζύκαν gl. FG. - χαλκὴν E. - ἐγχέαι HIJK. - ἐγχέας vulg. - γλυκὺ, al. manu ὺν H. - ἑψεῖν H. — [4] ὡς, al. manu ἕως H. — [5] τοῦ F. - δεύτερον EH. - δεύτερος vulg. — [6] καὶ δ. vulg. - καὶ om., add. al. manu H. - δεύεσθαι E. - δέεσθαι G (H, al. manu, erat prius δίεσθαι) Z, Ald. - ὅτι σμύρνα καὶ στακτὴ, ἓν in marg. H. - παραχέοντα EHKL. — [7] ἑωυτῆς Z. - ἑαυτῆς vulg. - σὺν J. - ξυγχέας E. - μιγνύναι (al. manu γνῦ H), Kühn. - μιγνῦναι vulg. — [8] αὐτὸ pro ἐς τὸ K. - ἕψε FG (H, al. manu) JKZ, Ald. — [9] Ante ξ. addunt ἕτερον GZ, Ald. - ὀλίγιστον EF (H, al. manu, erat ὀλίγον) IJK. - ὄκη H. - ὅπη vulg. — [10] φάρμακον πρὸς παλαιὰ ἕλκη καὶ τὰ νεότρωτα IJ. — [11] τὰ EH. - τὰ om. vulg. - ἐσπόσθεον (EH emend. al. manu) GIJ. - ἐπόσθεον, al. manu ἐσπόσθεον F. - πόσθεον KZ Ald. - πόσθεν L. — [12] ἐν κ. ἕλκεϊ IJK. - ἐν κεφαλῇ ἕλκεα, al. manu ἐν κεφαλῇ ἕλκεϊ H. — [13] φ. ἕ. τ. α. ἑ. om., in marg. ἕτερον περὶ τῶν α. ἑλ. H. - Pr

:ore ce cataplasme : la graine de lin, le vitex agnus castus :ru, l'alun de l'île de Mélos, le tout humecté de vinaigre.

12. (*Diverses préparations propres à mondifier les plaies.*) Écraser du verjus blanc dans un vase de cuivre rouge à travers un tamis, mettre le liquide au soleil pendant le jour, et le rentrer pendant la nuit pour que la rosée n'y tombe pas; le remuer pendant le jour sans cesse afin que la dessiccation en soit uniforme, et qu'il prenne du cuivre le plus qu'il sera possible; l'exposer au soleil jusqu'à ce qu'il devienne épais comme du miel; puis le verser dans un pot de cuivre avec du miel de première qualité et du vin doux, dans lequel de la thérébenthine aura été cuite; cette térébenthine cuira dans le vin jusqu'à ce qu'elle devienne dure comme du miel cuit, puis on l'enlèvera, et on versera le vin; quant aux quantités, plus de suc de verjus que de vin, plus de vin que de miel. De plus prendre de la myrrhe stacté (*celle qui a coulé de l'arbre spontanément et avant toute incision*), et d'ailleurs de première qualité, la broyer très-fin et la délayer en y versant peu à peu du même vin; puis faire cuire à part la myrrhe avec le vin, en la remuant; enfin quand elle paraît être au point convenable d'épaississement, la verser dans le suc de verjus. Alors faire griller du nitre de première qualité et le mêler doucement au médicament avec de la fleur de cuivre (*grains de cuivre projetés quand on asperge d'eau froide le métal chaud en pain*) en moindre quantité que le nitre; cela étant mélangé, faire cuire pendant trois jours au moins avec un feu léger de bois de figuier ou de charbon, afin que la préparation ne se grille pas. Toutes les substances employées doivent être anhydres, et il ne faut pas humecter les plaies dans l'endroit qu'on enduit de ce médicament. On se sert de cette préparation pour les vieux ulcères, pour les plaies récentes, pour le prépuce, pour les plaies de la tète et de l'oreille. — Autre préparation pour les

ἕτερον habet πρὸς παλαιὰ καὶ νεότρωτα ἕλκεα Ald. – ἑλκῶν JK. – φ. ἕτ. om. EFGIJZ.

λευκός· ἐναφεψῆσαι [1]δὲ ἐν αὐτῷ λωτοῦ τορνεύματα· λιβανωτὸς, σμύρνα ἴση, κρόκος [2]ἴσος, ἄνθος χαλκοῦ· ὁμοίως δὲ ὑγρῶν, οἶνος πλεῖστος, μέλι δεύτερον, ὀλίγιστον [3]ἡ χολή. — Ἕτερον· οἶνος, μέλι κέδρινον, ὀλίγον· τὰ δὲ ξηρὰ, ἄνθος χαλκοῦ, σμύρνα, σίδιον αὖον.— [4]Ἕτερον· ἄνθος χαλκοῦ ὀπτὸν ἡμιμοίριον, σμύρνης δύο ἡμιμοίρια, κρόκου τρεῖς μοῖραι, μέλι ὀλίγον, [5]σὺν οἴνῳ ὑπτώμενα. — Ἕτερον· λιβανωτοῦ μοῖρα, σμύρνης μοῖρα, κηκίδος μοῖρα, κρόκου τρεῖς [6]μοῖραι· τούτων ἕκαστον ξηρὸν [7]τρίψας ὡς λειότατον, ἔπειτα μίξας, τρίβειν ἐν ἡλίῳ ὡς θερμοτάτῳ, παραχέων χυλὸν ὄμφακος ἕως ἂν ἰξῶδες γένηται, ἐπὶ τρεῖς ἡμέρας· ἔπειτα [8]οἴνῳ αὐστηρῷ μέλανι εὐώδεϊ παραχέων κατ' ὀλίγον δίεσθαι. — [9]Ἕτερον· ἐν οἴνῳ γλυκέϊ ἕψειν λευκῷ πρίνου ῥίζας· ἐπειδὰν δὲ δοκέῃ καλῶς ἔχειν, ἀποχέας, τοῦ οἴνου δύο μοίρας ποιῆσαι τοῦδε καὶ [10]ἀμόργης ἐλαίου ὡς ἀνυδροτάτου μοῖραν μίαν, ἔπειτα ἕψειν, ἀνακινέων ὡς μὴ φρυγῇ, μαλθακῷ πυρὶ, ἕως ἂν δοκέῃ [11]τοῦ πάχεος καλῶς ἔχειν. — [12]Ἕτερον· τὰ μὲν ἄλλα, τὰ αὐτά· ἀντὶ δὲ τοῦ οἴνου, ὄξος [13]ὡς ὀξύτατον ἔστω λευκόν· ἐμβάψαι δὲ ἐς αὐτὸ εἴρια ὡς οἰσυπώδεα· κἄπειτα δεύσας τῇ ἀμόργῃ ἕψειν· καὶ ὀπὸν ἐρινεοῦ ξυγχέαι, καὶ στυπτηρίην [14]μηλείην, καὶ νίτρον καὶ ἄνθος χαλκοῦ μῖξαι ὀπτὰ ἀμφότερα. Τοῦτο μᾶλλον τοῦ προτέρου καθαίρει τὰ ἕλκεα, ξηραίνει δὲ τὸ πρότερον οὐχ ἧσσον. — [15]Ἕτερον· τὰ εἴρια βάψαι ὡς ἐν ὀλιγίστῳ ὕδατι, ἔπειτα οἶνον ξυγχέας μέρος τρίτον, ἕψειν ἕως ἂν καλῶς ἔχῃ τὸ πάχος. [16]Ἀπὸ τῶνδε δια-

[1] Δ' EH.-σμύρνα, al. manu η H.-σμύρνη vulg.—[2] ἴσης GZ.-ἄνθος τε vulg. -τε om., restit. al. manu H.—[3] ἡ H.-ἕτ. om. K.-αὖον om. F.-ἄλλο pro αὖον GI (J, ἄλλον) K. — [4] ἄλλο FH.-ἔναιμα διάφορα EFLQ'. — [5] οἴνω (al. manu addit σὺν) ἕψεται H.-ὀπτημένα (sic) K.-ἕτ. om. FJK.-ἔναιμον pro ἕτ. H. -σμύρνης μοῖρα H.-σ. μ. om. vulg.-κηκίδος Lind.-κικίδος vulg.-σμύρνης pro κηκ. E. — [6] μοῖραι EH.-μ. om. vulg.-ξηρὸν ἕκ. EH. — [7] τρίψας EK.-τρίψαι vulg.-τρῖψαι Kühn.-ἐν EH.-ἐφ' vulg.-παραγχέων (sic) Z. — [8] ἐν οἴ. vulg.-ἐν om. EH.-παραχέων EFHIJKL.-παραχέειν vulg.-δεύεσθαι L. — [9] ἕτ. om. FK.-ἔναιμον H.-ἑψεῖν E.-λευκοῦ FGIJKZ.-δὲ om. GZ, Ald.-καλῶς δοκ. EH.— [10] ἀμοργέος EH.-ἀμοργαῖος FGIJKLZ.-ἀνυδρότατα J. — [11] καλῶς ἔχ. τ. π. J. — [12] ἕ. om. FHK. — [13] ὡς EH.-ὡς om. vulg.-ἔστω om. FGIJKZ.-αὐτὸν I.-ἔρια EGIJK.-εἴρια (bis) H.-εἰρία (bis) vulg.— [14] ἀπὸ τῆς μήλου τῆς νήσου in marg. L.-μὴ λείην H.-μίξας E.-μῖξαι Kühn. -μίξαι vulg.-τὰ ἑλ. om., restit. al. manu H. — [15] ἕ. om. JK.-ἕτ. ἔναιμον H.-ἔρια E.-ὀλίγω E. — [16] τὰ ἀποτρεπτικὰ τῶν νεοτρώτων ὥστε διαπυΐσκεσθαι. Τάδε μάλιστα ἀποτρέπει τὰ νεότρωτα διαπυΐσκεσθαι E.-ἀπὸ τῶνδε τὰ

mêmes plaies : bile de bœuf sèche, miel de première qualité, vin blanc ; faire cuire dans ce vin des copeaux du lotus (*celtis australis* L.) ; encens, myrrhe autant, safran autant, fleur de cuivre ; de même pour les liquides : vin, le plus, miel en second lieu, bile très-peu. — Autre : vin, miel de cèdre (*liqueur découlant de l'arbre*) en petite quantité ; substances solides : fleur de cuivre, myrrhe, écorce sèche de grenade. — Autre : fleur de cuivre grillée, une demi-partie, myrrhe, deux demi-parties, safran, trois parties, miel un peu, le tout cuit avec du vin. — Autre : encens, une partie, myrrhe, une partie, noix de galle, une partie, safran, trois parties ; chacune de ces substances étant sèche, on la broiera aussi fin que possible, puis, les ayant mêlées, on les broiera au soleil le plus chaud, versant du suc de verjus, jusqu'à ce que la préparation devienne visqueuse, cela pendant trois jours ; puis on délaiera en versant peu à peu un vin astringent, noir, de bonne odeur. — Autre : cuire dans du vin doux, blanc, des racines de chêne vert ; quand la décoction paraît suffisante, on transvase et on prend deux parties de ce vin et une de marc d'huile aussi privé d'eau que possible ; puis on cuit à un feu doux, en agitant pour que cela ne se brûle pas, jusqu'à ce que la consistance en semble suffisante. — Autre : ingrédients les mêmes que pour le précédent, si ce n'est qu'au lieu de vin on prendra du vinaigre blanc aussi fort que possible : on y plongera des laines chargées de suint ; puis, versant le marc d'huile, on cuira ; verser aussi du suc de figuier sauvage, de l'alun de l'île de Mélos, et y mêler du nitre et de la fleur de cuivre, tous deux grillés. Cette préparation mondifie les plaies plus que la première ; mais la première ne dessèche pas moins. — Autre : plonger les laines dans aussi peu d'eau que possible, puis, versant un tiers de vin, cuire jusqu'à ce que la consistance soit

νεότρωτα (ἐξέσται al. manu supra lin.) διαπυΐσκεσθαι (al. manu, erat prius forte διαπυΐσκεται) τάχιστα ; et in marg. al. manu τάδε μάλιστα ἀποτρέπει τὰ νεότρωτα διαπυΐσκεσθαι H. – In marg. ὡς μάλιστα ἀποτρέπει τὸ νεότρωτον διαπυΐσκεσθαι IJ.

πυΐσκεσθαι ἐξέσται τὰ νεότρωτα τάχιστα. — [1]Ἄλλο· ἄρον ξηρὸν ἐπιπάσσειν, καὶ [2]στέλλειν. — Κράδης ἐν ὀπῷ φλοιὸν χλωρὸν τρίβων ἐν οἴνῳ ἐνστέλλειν, καὶ ἄνευ οἴνου αὐτὸν καὶ ξὺν μέλιτι. — [3]Ἕτερον· ὄξος, ἐναφεψῶν λωτοῦ τορνεύματα, ἔστω δὲ λευκὸν τὸ ὄξος, κἄπειτα μῖξαι ἀμόργην ἐλαιέων καὶ ὀῤῥὸν πίσσης, τοῦτο ὠμόν· καὶ [4]ἐπαλείφειν, καὶ καταστάζειν, καὶ [5]ἐπιδεῖν.

13. Ξηρὰ ἀποτρέπει τὰ νεότρωτα διαπυΐσκεσθαι, ἢ ὄξει ἀπονίψας, [6]ἢ οἴνῳ ἀποσπογγίσας. Τὸν μόλιβον τὸν λεῖον ξὺν τῇ σποδῷ τῇ κυπρίῃ λεανθέντα ἐπιπάσσειν· καὶ τοῦ λωτοῦ τὰ ἰχθυήματα [7]ἐπιπάσσειν, καὶ τὴν λεπίδα τοῦ χαλκοῦ, [8]καὶ τὴν στυπτηρίην, καὶ τὴν χαλκῖτιν μετὰ τοῦ χαλκοῦ, καὶ μόνην, [9]καὶ μετὰ τῶν τοῦ λωτοῦ ἰχθυημάτων. Καὶ ἄλλως, ὅταν δέηται, ξηροῖσι τοῖσι τοιούτοισι χρέεσθαι, καὶ τῇ σποδῷ τῇ ἰλλυριώτιδι λείῃ μετὰ τῶν ἰχθυημάτων, [10]καὶ αὐτοῖσι μόνοισιν ἰχθυήμασι, καὶ ἄνθει ἀργύρου μόνῳ ὡς λειοτάτῳ· καὶ τὴν [11]ἀριστολοχίην ξύων τε καὶ τρίβων λείην ἐπιπάσσειν.

14. Ἕτερον ἔναιμον· σμύρνα, λιβανωτὸς, κηκὶς, ἰὸς, ἄνθος χαλκοῦ ὀπτὸν, στυπτηρίη αἰγυπτίη ὀπτὴ, οἰνάνθη, οἰσυπίδες, μολύβδαινα, τούτων ἴσον ἑκάστου, ἡ δίεσις [12]οἴνῳ ὥσπερ τὸ πρότερον, καὶ ἄλλη ἐργασίη κατὰ τὰ αὐτά. — Ὄξος ὡς ὀξύτατον λευκὸν, μέλι, στυπτηρίην αἰγυπτίην, νίτρον ὡς ἄριστον ἡσύχως φρύξας, [13]χολῆς

[1] Ἀλ. om. EFHIJK. – ἄλλο.... μέλιτι om. Z. – ἐμπάσσειν, al. manu ἐπιπ. H. — [2] σ. om. Lind. – Je suis Cornarius, et je commence un nouveau médicament à κράδης. Mais je doute de l'intégrité du texte. – αὐτὸν καὶ om. FGIJK. — [3] ἕ. om. FIJK. – Pro ἕ. habet τάδε μάλιστα ἀποτρέπει νεότρωτα διαπυΐσκεται (al. manu ΐσκεσθαι) τά τε (al. manu καὶ τὰ) ἔναιμα καὶ τὸ H. – In marg. τάδε μάλιστα ἀποτρέπει τὰ νεότρωτα ἕλκεα διαπυΐσκεσθαι F. – ἄλλο pro ἕτερον E. – ἐναφεψῶν H. – ἀφεψῶν vulg. – ἀφεψὼν F. – ἀναφειῶν (sic) E. – μίξαι EH, Frob. – ἐλαίων L. – τοῦτο EH. – τ. om. vulg. — [4] ἀπ. EFG (H, emend. al. manu) IJK, Ald. — [5] ἐπιδεῖν EHQ'. – ἐπιδεσμεῖν vulg. – ξήριον K. – ὄξεϊ Lind. — [6] ἢ H. – ἢ om. vulg. – Ante τὸν addit ἄλλο (ἕτερον EJ) vulg. – ἄλλο om. FGHIKLZQ'. – μόλιβδον JK, Lind. – μόλυβδον E. – σποδδῶ I. — [7] ἐπ. om. GIJKL. — [8] καὶ.... χαλκοῦ om. GZ. – στυπτηρίαν K. – χαλκῖτιν Lind., Kühn. – χαλκίτιν EFI, Ald., Frob. – χαλκίτην vulg. — [9] καὶ om. GIJK. — [10] αὐτῇ μόνῃ καὶ ἰχθυήμασι (addit. al. manu μόνοισι) pro καὶ.... ἰχθ. H. – ἄνθη vulg. – μόνω (al. manu νη H) ὡς λειοτάτω (al. manu τη H) E. – μόνῃ ὡς λειοτάτῃ vulg. — [11] ἀριστολοχείην H. – λίην Z, Frob. – ἕτερον est in marg. H. – In marg. ἔναιμον ἕτερον F. – ἔν. om. L. – ἔν. est in marg. G. – ἔναιμον.... τὰ αὐτὰ om. Z. – σμῦρνα H. – κηκὶς E, Lind. – κικὶς vulg. – οἰσυπιδὲς EH. – οἰσυπηδὲς K. – μολίβδαινα EJ. — [12] σὺν οἴνω vulg. – σὺν om.,

bonne. Avec ces préparations on fera traverser très-rapidement aux plaies la période de suppuration. — Autre : saupoudrer la partie d'arum sec (*arum colocasia* L.), et la couvrir. — (Autre :) broyer l'écorce verte des branches de figuier dans du suc de figuier, et l'appliquer avec du vin, ou, sans vin, avec du miel. — Autre : vinaigre, dans lequel on fera cuire des copeaux de lotus (*celtis australis* L.) et qui sera blanc ; puis on mêlera du marc d'olive et de l'eau de poix (celle-ci n'aura pas subi de cuisson) ; on enduira, on arrosera, et on mettra un bandage.

13. (*Substances sèches employées pour empêcher la plaie de suppurer.*) Substances sèches qui empêchent les plaies récentes de suppurer ; on les enlève soit en lavant avec du vinaigre, soit en épongeant avec une éponge trempée dans du vin. Prendre du plomb broyé, le pulvériser avec la spode (*cendre de cuivre*) de Chypre, et en saupoudrer la plaie. On la saupoudrera aussi avec la poudre de copeaux de lotus, avec les écailles de cuivre, avec l'alun, avec la chalcitis (*quelque sulfate de cuivre*) associée au cuivre, ou seule et unie aux copeaux de lotus. Du reste, au moment du besoin, on emploie ces substances sèches, ainsi que la spode d'Illyrie pulvérisée avec les copeaux de lotus, et ces copeaux seuls, et la fleur d'argent (*litharge*) seule, bien pulvérisée, et l'aristoloche, dont on fait des raclures et qu'on broie avec soin.

14. (*Préparations cathérétiques.*) Autre enhème (*voy.* p. 402, *note* 4) : myrrhe, encens, noix de galle, verd de gris, fleur d'argent (*litharge*) grillée, alun d'Égypte grillé, fleur de la vigne sauvage, laine en suint, molybdène (*protoxyde de plomb ou massicot*) ; de chaque, quantité égale ; on délaiera avec du vin comme pour le précédent ; du reste le procédé de la préparation est le même. — Vinaigre blanc aussi fort que possible, miel, alun d'Égypte, nitre de première qualité qu'on aura

rescript. al. manu H. - φρύξας Codd. - φρίξας vulg. — [12] χυλῆς J. - χιλῆς K. - ὀλίγω Codd. (H, ὀλίγον, al. manu γω), Ald. - συνέψει Codd. (H, ἕψεται, al. manu συνέψει), Ald., Frob. - συνέχει vulg. - ὑποσαρκέοντα L.

ὀλίγον συνέψει· τοῦτο τὰ ὑπερσαρκέοντα καθαίρει καὶ κοιλαίνει, καὶ οὐ δάκνει. — [1] Ἄλλο· ποίη ἡ μικρόφυλλος, [2] ἢ ὄνομα παρθένιον τὸ μικρόφυλλον, [3] ἢ τὰ θύμια [4] τὰ ἀπὸ τοῦ ποσθίου ἀφαιρεῖ, καὶ στυπτηρίη ἡ χαλκῖτις· καὶ μηλίαδος ὠμῆς· ἐλατήριον λεπτὸν ξηρὸν [5] προστεῖλαι, καὶ τὸ σίδιον λεπτὸν ξηρὸν ὡσαύτως.

15. Πληροῖ δὲ μάλιστα τὰ κοῖλα τὰ καθαρὰ, ποίη, [6] ἣ λαγώπυρος οὔνομα· ἐστὶ δὲ πιτύροισιν ὁμοίη ὅταν αὐαίνηται, μικρὸν τὸ φύλλον, ὥσπερ καὶ τὸ τῆς ἐλαίης, καὶ μακρότερον· καὶ πρασίου τὸ φύλλον, σὺν ἐλαίῳ. — [7] Ἕτερον· ἰσχάδος τὸ εἴσω, τὸ πῖαρ, τὸ μελιτοειδὲς, ὡς ξηροτάτης, ὕδατος δύο μοίρας, καὶ λίνου καρποῦ φρύξας μὴ σφόδρα ὡς λεπτοτάτου [8] μοίραν μίαν. — Ἄλλο· τῆς ἰσχάδος, καὶ ἄνθος χαλκοῦ ὀλίγον λεπτὸν, καὶ συκῆς ὀπόν. — Τὸ δ' ἐκ τῆς [9] ἰσχάδος, χαμαιλέων μέλας, χολὴ βοὸς ξηρή· τὰ μὲν ἄλλα τὰ αὐτά. Τὰ δὲ ξηρά. — Κάρδαμον λεπτὸν, ὠμὸν, ἐρύσιμον, ἑκατέρου ἴσον, τῆς [10] δὲ ἰσχάδος δύο μέρη, λίνου καρποῦ δύο μοίρας, ὀπὸν συκῆς. Ὅταν τούτων τινὶ χρέῃ τῶν φαρμάκων, σπλῆνας ἄνωθεν ὀξηροὺς ἐπιθεὶς, σπόγγον ἄνωθεν τῶν σπληνῶν ἐπίθες, καὶ ἐπίδει, καὶ προσπιέσαι ὀλίγῳ μᾶλλον· τὰ δὲ περιέχοντα ἢν φλεγμαίνῃ, ὅ τι ἂν δοκέῃ ξυμφέρειν, περιπλάσσειν.

16. Ἢν [11] βούλῃ ὑγρῷ χρέεσθαι, καὶ τὸ καρικὸν φάρμακον ἐπαλείφειν, ἐπιδεῖν δὲ ὥσπερ τὰ πρότερα γέγραπται κατὰ τὸν αὐτὸν [12] λόγον. Ἐστὶ δὲ ἐκ τῶνδε τὸ φάρμακον ποιεύμενον· ἐλλεβόρου μέλανος, σανδαράχης, λεπίδος, μολίβδου κεκαυμένου σὺν πολλῷ θείῳ,

[1] Ἄ. om. FHIJK. – ἡ ποίη ἡ J. — [2] ἣ FZ. – ἢ Ald. — [3] ἡ Ald. — [4] τὰ om., restit. al. manu H. – προσθίου, emend. al. manu E. – ὠμὴ FJKZ. – Galien dit dans le Gloss. que χαλκῖτις στυπτηρίη est la même chose que χαλκῖτις. L'élatérion était une préparation purgative tirée du mormodica elaterium; voy. Dioscoride, IV, 55. — [5] προστεῖλαι.... ξηρὸν om. FGJKZ. — [6] ἡ FJ. – ἣ H. – ἡ vulg. – οὔνομα FGHIJZ, Ald., Frob. – ὄνομα vulg. — ἔμπλαστρον pro ἕτερον EHIJKQ'. – ἔμπλαστρον in marg., et ἕτερον om. F. – πῖαρ EH. – πίαρ vulg. – καρποῦ EHJKL. – καρπὸν vulg. — [8] μίαν (al. manu H) μοίραν E. – ἄλλο in marg. H. – ἄλλο ἔμπλαστρον Z. – ἄλ. om. FJ. – ἕτερον EIK. — [9] Post ἰ. addit [εἴσω] Lind. – μέγα: E. — [10] δὲ om., restit. al. manu H. – ὀξυροὺς E. — [11] βούλει al. manu H. – καρυκὸν JL. — [12] τρόπον EHIJK. – δ' EH. – μολίβου FGHIJ, Ald. – μολύβδου E. – κεκλυμένου FHIJK. – κεκλιμένου GZ, Ald. – κεκαυμένου, al. manu πεπλυμένου E. – πεπλυμένου vulg. – θείω E. – θείου vulg. – Il faut lire κεκαυμένου et θείῳ; car Dioscoride dit, V, 96, en parlant du plomb brûlé; ἐπιπάσας θεῖον. Cela a été très-bien vu par Cornarius et par Manialdus.

doucement grillé, un peu de bile : faites cuire ensemble. Cette préparation mondifie les chairs fongueuses, creuse les plaies et ne les irrite pas. — Autre : l'herbe à petites feuilles, nommée parthenion microphylle (*matricaria parthenium* L.), qui enlève les excroissances du prépuce, l'alun-chalcite (*voy. note* 4), la chalcitis de Mélos crue, l'élatérion sec pulvérisé (*voy. note* 4), ou semblablement la poudre d'écorce séchée de grenade.

15. (*Préparations incarnantes.*) Ce qui remplit surtout les plaies creuses mais mondifiées, c'est l'herbe nommée lagopyre (*lagurus ovatus* L.); elle est semblable à du son quand elle se dessèche; la feuille en est petite comme celle de l'olivier, mais plus longue. De même la feuille de marrube (*marrubium vulgare* L.), avec de l'huile. — Autre : le dedans, la partie grasse, la partie mielleuse de la figue sèche, deux parties d'eau, une partie de graine de lin qu'on grillera un peu et qu'on pulvérisera très-fin. — Autre : le dedans de la figue sèche, un peu de fleur de cuivre pulvérisée, et le suc du figuier. — (Autre :) le dedans de la figue sèche, le chaméléon noir (*carthamus corymbosus* L.), la bile de bœuf desséchée; le reste, de même : ce sont là des préparations sèches. — (Autre :) cardamum menu (*erucaria Aleppica*, G.; *d'après Fraas, Synopsis*, p. 124) cru, broyé, erysimon (*erysimum polyceratium* L.), de chaque, quantité égale; figue sèche, deux parties; graine de lin, deux parties; suc de figuier. Quand on se sert de quelqu'un de ces médicaments, on place, par-dessus le médicament, des compresses imbibées de vinaigre, et, par-dessus les compresses, une éponge; puis le bandage, et on serre un peu davantage. Quant aux parties voisines, si elles sont enflammées, y faire l'application qui paraîtra convenable.

16. (*Préparation du médicament de Carie.*) Si vous voulez employer une préparation liquide, vous avez, pour oindre la partie, le médicament de Carie; vous appliquerez le bandage comme il a été dit pour les médicaments précédents. Voici de quels ingrédients il est fait : ellébore noir (*helleborus orientalis*

ἀῤῥενικοῦ, κανθαρίδος· τούτῳ ὁποίῳ [1]δοκέει συντεθέντι χρῆσθαι· ἡ δὲ δίεσις, κεδρίνῳ ἐλαίῳ· ἐπειδὰν δὲ [2]ἅλις ἔχῃ ἐπαλείφοντι, ἐκβάλλειν τὸ φάρμακον, [3]ἐπιπάσσων ἄρον ἑφθὸν λεῖον, ἢ τρίβων ξηρὸν τῷ μέλιτι δεύων· καὶ ἢν ξηρῷ [4]χρῇ τῷ καρικῷ τούτῳ, χρὴ ἀφιστάναι τὸ φάρμακον ἐπιπάσσων.

17. Ποιέει δὲ τὸ ξηρὸν ἀπὸ τοῦ ἐλλεβόρου μόνον καὶ τῆς σανδαράχης. — Ἕτερον ὑγρόν· [5]ποίη, ἧς τὸ φύλλον ὅμοιον ἄρῳ τὴν φύσιν, λευκὸν δέ, [6]χνοῶδες, κατὰ κισσοῦ φύλλον τὸ μέγεθος· αὕτη ἡ ποίη ξὺν οἴνῳ ἐπιπλάσσεται. — Ἢ τοῦ πρίνου τὸ περὶ τὸ στέλεχος τρίψας [7]ἐν οἴνῳ, ἐπίπλασσε. — Ἕτερον· ὄμφακος χυλὸς, ὄξος ὡς ὀξύτατον, ἄνθος χαλκοῦ, νίτρον, ὀπὸς ἐρινεοῦ. — Ἐς ὄμφακος χυλὸν στυπτηρίην [8]ἐμβάλλειν ὡς λειοτάτην, καὶ θεῖναι ἐν χαλκῷ ἐρυθρῷ ἐς ἥλιον, καὶ ἀνακινέειν, καὶ ἀνελεῖν ὅταν δοκέῃ καλῶς ἔχειν τὸ πάχος. — [9]Ἕτερον· ἐλλέβορος μέλας ὡς λειότατος ἐπιπάσσεται, ἕως ἄν τι τοῦ ὑγροῦ ἐνέῃ καὶ νεμομένου· ἐπίδεσις δὲ ἡ αὐτὴ, [10]ἥπερ ἐπὶ τοῖσιν ἐμπλάστροισιν. — Ἕτερον· ἁλὸς χόνδρους ὡς ξηροτάτους ἐς χυτρίδιον χάλκεον ἢ κεραμεοῦν καινὸν ἐμβαλεῖν, ἴσους ὡς μάλιστα τὸ μέγεθος, μὴ ἁδρούς· καὶ μέλι ὡς κάλλιστον διπλάσιον τῶν ἁλῶν εἰκάσας [11]ἐπιχέαι ἐπὶ τοὺς ἅλας· ἔπειτα ἐπιθεῖναι ἐπὶ τοὺς ἄνθρακας τὸ χυτρίδιον, καὶ ἐᾷν ἕως ἂν κατακαυθῇ πᾶν· ἔπειτα ἀνασπογγίσας τὸ ἕλκος καὶ ἐκκαθήρας, ἐπιδῆσαι ὥσπερ τὸ πρότερον, καὶ πιέσαι ὀλίγῳ μᾶλλον· τῇ δ' ὑστεραίῃ, ὅπῃ ἂν μὴ λάβηται τὸ φάρμακον,

[1] Δοκέει EFGHIJK, Ald. – δοκέῃ vulg. – συντιθέντι E. — [2] ἅλης Ald. – ἐπαλήφοντι G, Ald. — [3] ἐπιπάσσων EFHJKL. – ἐπιπλάσσων GZ, Ald., Frob. – ἐπιπλάσσειν vulg. — [4] χρὴ vulg. – τούτῳ H. – τούτων vulg. – ἀφιστάναι HQ'. – ἀφιστᾶναι E. – ἀφεστάνειν vulg. – ἐφεστάνειν J. – τὸ φ. om. K. – ἐπιπλάσσων vulg. – μόνου E. — [5] On a rapporté cette plante au tussilage; synonymie fort douteuse. — [6] γνοῶδες FIK. – ξὺν EHQ'. – σὺν vulg. – ἐπιπλάσεται I. – Ante ἡ addit ἕτερον K. — [7] ἐν EH. – σὺν vulg. – ἐπίπλασσε EHKL. – ἐπίπλασσαι vulg. – ἐπίπλασαι Kühn. – ἕτερον om. K. – ἄλλο E (H, in marg.). – ὄμφακος K. – ὀμφάκου EH. – ὀμφακοῦ vulg. — [8] Ante ἐμβ. addit τε vulg. – τε om., rescript. al. manu H. – λειοτάτῳ καὶ θρῦναι (sic) Ald. — [9] ἕτερον K. – ἔναιμα (ἐναίματα GJZ, Ald.) ξηρὰ τάδε pro ἕτερον vulg. – ἐναίματα ξηρὰ τάδε in marg. EFH. – Les médicaments qui suivent ne sont pas des *enhèmes* (voy., p. 402, n. 4), lesquels se mettaient sur les plaies récentes. Aussi a-t-on proposé de lire νεμόμενα ou νέμοντα, *médicaments rongeants*. Dans l'incertitude sur ces titres, qui d'ailleurs appartiennent plus souvent à la marge qu'au texte dans les mss., j'ai pris ἕτερον de K. – ἐπιπλάσσεται EFHIJKL. — [10] ἥτις

Lam.), sandaraque (*arsenic rouge*), écaille de cuivre, plomb brûlé avec beaucoup de soufre, arsenic (*orpiment*), cantharide. Avec ces ingrédients on le composera comme on le jugera convenable ; pour s'en servir, on le délaiera avec de la résine de cèdre. Quand l'onction pratiquée est suffisante, on enlève le médicament en répandant de l'arum cuit et écrasé, ou sec et pilé, et humectant avec du miel. Si on emploie ce médicament de Carie à l'état sec, on en saupoudre la partie qu'ensuite on débarrasse.

17. (*Préparations cathérétiques.*) On a encore une préparation sèche efficace dans l'ellébore seul et la sandaraque. — Autre, humide : l'herbe (*voy. note* 5) dont la feuille est semblable à l'arum pour les propriétés, mais blanche, lanugineuse et de la grandeur de la feuille de lierre ; on fait un cataplasme de la plante elle-même avec du vin. — (Autre :) on emploie encore en cataplasme ce qui est autour du tronc du chêne vert (*écorce ou mousse ?*) broyé dans du vin. — Autre : suc de verjus, vinaigre très-fort, fleur de cuivre, nitre, suc de figuier sauvage. — (Autre :) jeter dans du jus de verjus de l'alun pulvérisé, mettre le tout au soleil dans un vase de cuivre rouge, remuer, et retirer quand la consistance paraît convenable. — Autre : ellébore noir (*helleborus orientalis* Lam.) pulvérisé, on en saupoudre la partie, tant qu'il y a quelque liquide et quelque corrosion ; le bandage est le même que pour les autres substances qu'on emploie de la sorte. — Autre : prendre des grains de sel très-secs, d'égale grosseur, autant que faire se peut, et non épais, les jeter dans un pot de cuivre ou de terre neuf ; puis prendre du miel de première qualité, le double à peu près du sel, et le verser sur le sel ; mettre le pot sur les charbons et l'y laisser jusqu'à ce que tout soit brûlé ; alors épongez la plaie, nettoyez-la, appliquez le bandage comme

J. – τοῖσι ἐπιπλάστροισι, al. manu ἐμπλ. H. – ἄλλο E (H, in marg.) IJL. – Post ἔτ. addit ὁμοίως vulg. (ὅμοιον J). – ὁμοίως om. HKL. – κεραμοῦν L. – καινὸν EHIJKL. – κενεὸν vulg. – ἐμβαλεῖν K. – ἐμβάλλειν vulg. — [11] ἐπίχεαι H. – ἐπίχεε E.

[1] ἐπιπάσας προσπιέζειν καὶ ἐπιδεῖν· ὅταν δὲ βούλῃ ἀφιστάναι τὸ φάρμακον, ὄξος θερμὸν ἐπιχέειν, ἕως ἂν ἀποστῇ, καὶ αὖθις τὰ αὐτὰ ποιέειν, ἢν δέηται, [2] ἀνασπογγίσας. — [3] Ἄλλο ξηρὸν δάκνον· ὡς [4] οἰσυπωδέστατα εἴρια ἐπ' ὀστράκου κατακαῦσαι δαιδίῳ προσίσχων ἕως ἂν πάντα [5] κατακαύσῃς· τοῦτο λεῖον τρίβων, [6] ἐπιπάσας [7] τὴν αὐτὴν ἐπιδεῖν ἐπίδεσιν. — [8] Ἄλλο ξηρὸν ὁμοίως δάκνον· μίσυος ὡς λειοτάτου ἐπιπάσσειν ἐπὶ τὰ ὑγρὰ καὶ σαπρὰ, καὶ ἄνθος λεπτὸν μὴ παντελῶς λεῖον. — [9] Ἐπὶ τῶν αὐτῶν ἑλκέων· χαμαιλέων μέλας, στυπτηρίη [10] ἡ τῷ ὀπῷ τῆς συκῆς δεδευμένη, δεύειν δὲ ὀπτὴν, καὶ ἄγχουσαν μίσγειν. — Ἀναγαλλὶς, καὶ στυπτηρίη αἰγυπτίη ὀπτὴ, ἐπίπαστον ὀρχομένιον [11] ἐπιπάσσειν.

18. Πρὸς δὲ τὰς νόμας· στυπτηρίη, ἥ τε αἰγυπτίη ὀπτὴ, καὶ ἡ μηλείη, πρότερον δὲ απονιτρῶσαι ὀπτῷ καὶ ἀνασπογγίσαι. [12] Καὶ ἡ χαλκῖτις στυπτηρίη ὀπτή· ὀπτᾷν δὲ ἕως ἂν φλογοειδὴς γένηται.

19. [13] Τῶν παλαιῶν ἑλκέων [14] τῶν ἐν τοῖσιν ἀντικνημίοισι γινομένων, αἱματώδεα δέ ποι γίνεται καὶ μέλανα· μελιλώτου ἄνθος τρίψας, μέλιτι φυρῶν, ἐπιπλάστῳ χρῆσθαι.

[1] Ἐπιπάσας H, Kühn. – ἐπιπάσσας vulg. – ἐπισπάσας E. – βούλῃ H, Lind., Kühn. – βούλει vulg. – ἀφιστᾶναι E. — [2] ἀποσπ. EQ'. — [3] ἄλλο ξηρὸν δάκνον· μίσυος.... λεῖον. Ἄλλο ξηρὸν ὁμοίως δάκνον· ἀνασπογγίσας ὡς οἰσυπωδέστατα.... ἐπίδεσιν vulg. – ἄλλο ξηρὸν δάκνον· ἀνασπογγίσας ὡς οἰσυπωδέστατα.... ἐπίδεσιν. Ἄλλο δάκνον· μίσυος.... λεῖον EFHIJK. – L'ordre de nos six mss. me paraît préférable. En effet ἀνασπογγίσας devant ὡς οἰσυπωδέστατα est manifestement inutile et provient, par une répétition vicieuse, de l'ἀνασπογγίσας qui se trouvera immédiatement devant et sans interposition si l'on supprime ces mots : ἄλλο ξηρὸν δάκνον, qui n'appartiennent pas au texte, et qui même dans beaucoup de mss. sont à la marge. Cette répétition n'a pu se faire que lorsque ὡς οἰσυπωδέστατα suivait immédiatement ὡς δέηται, ἀνασπογγίσας; ce qui est l'ordre de nos mss. J'ai, bien entendu, supprimé l'ἀνασπογγίσας parasite. — [4] ἐσυπ. FGIJKZ. – κατάκαυσαι δαδίῳ E. – ἂν om. EFHJK. — [5] κατακαύσεις J. — [6] καὶ ἐπιπάττων vulg. – ἐπιπάσας sine καὶ EH. — [7] ἐπιδεῖν τ. α. ἐπ. EH. — [8] ἄλλο δάκνον in marg. pro ἄλ. ξ. ὁμ. δ. H. – μίσυος EH, Kühn. – μύσιος vulg. – λειότατα J. — [9] ἕτερον ξηρὸν ἐπὶ vulg. – ἕτ. ξ. om. EHL. – ἐπὶ om., rescript. al. manu H. – ἐπὶ τ. α. ἑλ. om. L. – ἐπὶ.... φλογοειδὴς γένηται om. Z. – χαμηλέων HIJK. – χαμελαίων G. — [10] ἡ om. J. – ἄγχου FGHIJ, Ald. – μίξας EQ'. – μίξαι H. – μίγειν (F, al. manu σμίγειν) IJK. – σμίγειν G, Ald. – ἀναγαλγαλὶς EFHIJ, Ald. – ἀναγαργαλὶς G. – ἀναγαλὶς K. – On ne sait ce qu'est cette préparation Orchoménienne. Quelques-uns ont pensé qu'il s'agissait de poudre de roseaux brû-

plus haut, et serrez un peu plus que d'habitude; le lendemain, saupoudrez avec le médicament les points où il n'a pas pris, puis serrez et bandez; quand vous voulez enlever le médicament, vous versez du vinaigre chaud jusqu'à ce qu'il soit enlevé; vous renouvelez, si le cas l'exige, l'opération, après avoir épongé. — Autre, sec, mordant : brûlez sur un test, avec du bois résineux, des laines très-chargées de suint, jusqu'à ce que tout soit consumé; pulvérisez le résidu, saupoudrez-en la partie, et appliquez le même bandage. — Autre, sec, également mordant : prendre du misy (*probablement un sulfate de fer et de cuivre*) finement pulvérisé, en saupoudrer les plaies humides et fongueuses; on emploie de même la fleur de cuivre, non complétement pulvérisée. — Pour les mêmes plaies : chaméléon noir (*carthamus corymbosus* L.), alun humecté avec du suc de figuier, l'humecter après l'avoir fait griller, et mêler de l'orcanète. — (Autre :) anagallis (*an. arvensis* L.), alun d'Égypte grillé, épipaste d'Orchomène (*voy. note* 10); en saupoudrer la partie.

18. (*Pour les ulcères rongeants.*) Pour les ulcères rongeants : alun d'Égypte grillé et alun de l'île de Mélos; auparavant laver la partie avec du nitre grillé, et éponger. De même, l'alun-chalcite (*voy.* p. 418, *note* 4) grillé; le griller jusqu'à ce qu'il prenne une apparence ignée.

19. (*Pour les vieilles plaies siégeant à la partie antérieure de la jambe.*) Des vieilles plaies siégeant au-devant de la jambe; parfois elles deviennent sanglantes et noires : écraser la fleur de mélilot (*melilotus officinalis* L.), l'humecter de miel, et s'en servir en emplâtre.

lés, les bords du lac d'Orchomène produisant beaucoup de roseaux et étant renommés pour cela. Quant à l'*épipaste*, c'était un médicament ou pulvérulent ou humide qui s'appliquait sur la partie. — [11] ἐπιπάσαι, al. manu ἄσσειν H. — [12] καὶ.... ὀπτῇ om. E. — [13] Ante τῶν addit in tit. περὶ παλαιῶν ἑλκέων E. — [14] τὰ J. - ἀντικειμένοισι FIJK. - ἀνακειμένου GZ. - ποι E. - τοι vulg. - γίνονται E (J, sed ponitur post μέλανα). - μέλαινα H. - μελιλότου FZ. - φυρῇν K.

20. [1] Ἐπὶ νεῦρα δὲ διατμηθέντα ἐπιδεῖν μυῤῥίνης ἀγρίης ῥίζας κόψας καὶ διαττήσας, [2] φυρήσας ἐλαίῳ. Καὶ τὴν ποίην τὴν πεντάφυλλον, [3] λευκὴ δέ ἐστι καὶ χνοώδης, καὶ ὑψηλοτέρη ἀπὸ τῆς γῆς ἢ τὸ μέλαν πεντάφυλλον, ταύτην τρίψας ἐν ἐλαίῳ ἐπιδεῖν, ἀπολύειν δὲ τριταῖον.

21. [4] Μαλθακώδεα, τοῖσίδε χρὴ τοῖσι φαρμάκοισι χρῆσθαι ἐν χειμῶνι μᾶλλον ἢ ἐν θέρει· [5] φάρμακα μαλθακώδεα, ἃ καὶ οὐλὰς καλὰς ποιέει· σκίλλης τὸ εἴσω [6] τὸ μυξῶδες τρίψας, ἢ πεύκην σὺν συείῳ στέατι νέῳ, ὀλίγον ἔλαιον καὶ ῥητίνης ὀλίγον, καὶ ψιμυθίου.— Καὶ στέαρ χηνὸς, [7] καὶ συὸς νέον, καὶ σκίλλαν, καὶ ἔλαιον [8] ὀλίγον. — Κηρὸς ὡς λευκότατος, στέαρ πρόσφατον καθαρόν. — Ἢ σκίλλαν, [9] ἔλαιον λευκὸν, ῥητίνης ὀλίγον. — Κηρὸν, στέαρ συὸς παλαιὸν καὶ νέον, καὶ ἔλαιον, καὶ [10] ἰὸς, καὶ σκίλλα, καὶ ῥητίνη, ἔστω δὲ δύο μοῖραι τοῦ παλαιοῦ στέατος [11] πρὸς τὸ νέον, τῶν δὲ ἄλλων ὁκόσον δοκέει καιρὸς εἶναι. —[12] Στέαρ συντήξας πρόσφατον, ἀποχέας ἐς ἕτερον χυτρίδιον, καὶ τῆς μολυβδαίνης τρίψας ὡς λειότατον, διαττήσας, [13] ξυμμίξας, ἕψειν, καὶ κυκᾷν τὸ πρῶτον, ἕψειν δὲ ἕως ἂν ἐπισταχθὲν ἐπὶ γῆς πηγνύηται, ἔπειτα καθελὼν ἀποχέαι τὸ ἄλλο πλὴν [14] τῆς λίθου τῆς ὑποστάσης, καὶ ἐμβάλλειν ῥητίνην καὶ ἀνακινέειν, [15] κέδρινον ἔλαιον ὀλίγον [16] ξυμμίξας καὶ τὸ ἀφῃρημένον. Πᾶσι χρὴ τοῖσι μαλθακοῖσιν ὅκου ἂν ῥητίνην [17] ξυμμιγνύῃς, ἐπειδὰν ἀφέλῃς ἀπὸ τοῦ πυρὸς

[1] Νεῦρα διατμηθέντα θεραπεύει μυρρίνης ἀγρίας ῥίζα FGHIK. - δὲ om. E. - μυρίνης EG. - μυρίνης ἀγρίας FIJKZ. - ῥίζας ἀγρίας EH. — [2] καὶ φ. vulg. - καὶ om. EH. — [3] λεπτὴ K. - δ' EH. - χνοώδης EHIJKL. - χλοώδης vulg. - ὑψηλοτέρη EH. - ὑψηλοτέρα vulg. - μέλλαν H. - τριταῖα L. — [4] μαλθ. om. L. - τοῖσίδε Lind. - τοῖσι δὲ vulg. - θέρεϊ E. - μαλθακώδη φάρμακα· καλεῖ γὰρ οὕτως αὐτὸς ἐν τῷ Περὶ ἑλκῶν αὐτὰ, καίτοι παρηγορικὰ τῶν φλεγμαινόντων ὄντα Gal., Comm. de Artic. IV, 22. — [5] φ. om., rescript. al. manu H. - καὶ Codd., Ald., Frob. - πρὸς pro καὶ (πρὸς om. Lind.) vulg. - καλὰς om. E. — [6] τὸ om. E. - ὑείῳ EHK. - υἱείῳ FIJ. - μηλείῳ pro σ. L. - On ne sait comment le picéa est ici employé. Les uns ont pensé qu'il s'agissait de l'écorce, les autres de la résine que cet arbre produit. — [7] κ. σ. ν. om. FGIJKLZ. - σκίλλα, al. manu αν H. — [8] λευκὸν, al. manu ὀλίγον E. - τε pro ὡς FGIJKZ. — [9] καὶ ἔλ. vulg. - καὶ om. FGHIJKZ. — [10] ὄϊος L. - σκίλλαν καὶ ῥητίνην FGIJLZ. — [11] π. τ. ν. om., rescript. al. manu H. - δοκέει Codd. - δοκέῃ vulg. — [12] Ante στέαρ addunt ἄλλο EJ. - ἐς H. - εἰς vulg. - μολιβδαίνης EK. — [13] ξ. EH. - σ. vulg. - κικᾶν K. - ὡς H. - ἐπὶ τῆς γῆς πηγνύηται ἐπισταθὲν EH. - πήγνυται vulg. — [14] τοῦ, al. manu τῆς H. - τ. λ. om. L. — [15] καὶ κ. vulg. - καὶ om. FGIJKZ. -

20. (*Pour les parties nerveuses coupées.*) Sur les parties nerveuses coupées, appliquez, par un bandage, des racines de myrte sauvage (*ruscus aculeatus* L.) qu'on écrase, qu'on passe au crible, et qu'on pétrit avec de l'huile. De même l'herbe pentaphylle (*potentilla argentea* L.); elle est blanche, lanugineuse, et plus élevée au-dessus du sol que la pentaphylle noire (*potentilla reptans* L.); on l'écrase dans de l'huile, et on l'applique à l'aide d'un bandage qu'on détache le troisième jour.

21. (*Émollients et cicatrisants.*) Émollients; il faut se servir de ces médicaments en hiver plutôt qu'en été; médicaments émollients qui ont aussi la propriété de procurer de belles cicatrices : broyez le dedans, la partie muqueuse de la scille, ou le picéa (*voy. note* 6) avec de la graisse nouvelle de porc; ajoutez un peu d'huile et un peu de résine et de céruse. — (Autre :) graisse d'oie, graisse nouvelle de porc, scille et un peu d'huile. — (Autre :) cire très-blanche, graisse fraîche nettoyée. — (Autre :) scille, huile blanche, un peu de résine. — (Autre :) cire, graisse de porc vieille et nouvelle, huile, vert de gris, scille, résine; il y aura deux parties de graisse vieille contre une de graisse nouvelle; quant aux autres ingrédients, on en réglera la dose suivant l'occurrence. — (Autre :) faire fondre de la graisse fraîche, la transvaser dans un autre pot; puis pulvérisez très-fin de la molybdène (*massicot*), la cribler, la mêler à la cire, faire cuire, et remuer d'abord; on fera cuire jusqu'à ce qu'une goutte versée à terre se coagule; alors on ôte du feu, et on transvase, ne laissant dans le pot que le résidu pierreux qui s'est déposé; on ajoute de la résine et l'on remue, ayant préalablement mêlé un peu de résine de cèdre à la portion retirée du feu. Dans tous les médicaments émollients où vous mêlez de la résine, il faut, quand vous avez retiré du feu le médicament, verser la résine dans la préparation en-

Ante κέδρ. addit ἕτερον J. - ὀλίγον om. J. — [16] σ. G. - ξυμμίξαι EF. - συμμίξαι IJKZ. - ξυμμῖξαι H. - καὶ EHQ'. - καὶ om. vulg. — [17] σ. IJ.

τὸ φάρμακον, ἐς θερμὸν ἔτι ἐὸν καθεὶς τὴν ῥητίνην [1]κυκᾶν. — Ἕτερον· στέαρ συὸς παλαιὸν, καὶ κηρὸς, καὶ ἔλαιον, τὰ δὲ ξηρὰ, ἰχθυήματα [2]λωτοῦ, λιβανωτὸς, μολύβδαινα, [3]ἤγουν τοῦ μὲν μοῖρα, καὶ τῆς δὲ μοῖρα, [4]καὶ τοῦ ἰχθυήματος μοῖρα, ἔστω δὲ τοῦ παλαιοῦ στέατος δύο μοῖραι, [5]τοῦ δὲ κηροῦ μία, καὶ [6]τοῦ ἐλαίου μία. — Ἢ στέαρ μόνον παλαιὸν ὕειον, σὺν τῷδε στέαρ αἰγὸς πρόσφατον ὡς ἥκιστα ξὺν τῷ ὑμένι, [7]καθήρας, μικρὰ τρίψας ἢ κατακόψας λεῖα, ἔλαιον παραχέειν, καὶ παραπάσσειν τὸν μόλιβδον ξὺν τῇ σποδῷ, καὶ λωτοῦ ἰχθυημάτων τὸ ἥμισυ. — [8]Ἕτερον· στέαρ αἰγὸς, σποδὸς, χαλκῖτις κυανέη, ἔλαιον.

22. [9]Περὶ πυρικαύστου· ἑψεῖν χρὴ πρίνου ῥίζας ἁπαλὰς, [10]ἧ δ φλοιός ἐστι παχύτατος καὶ χλωρότατος, καταταμὼν μικρὰ, οἶνον λευκὸν ἐπιχέας, μαλθακῷ πυρὶ [11]καθεψεῖν, ἕως ἂν δοκέῃ καλῶς ἔχειν τὸ πάχος, ὡς ὑπάλειπτον, καὶ ἐν ὕδατι τὸν αὐτὸν τρόπον. — [12]Ἕτερον μὴ δάκνον· ὑὸς στέαρ μόνον παλαιὸν ὑπαλείφειν, τήξας [13]αὐτὸ, ἄνωθεν [14]δὲ τῆς σκίλλης τὴν ῥίζαν διαιρῶν καὶ προστιθεὶς καταδεῖν, [15]τῇ δὲ ἐξῆς ἐπαιονᾷν. — Ἄλλο· τήξας ὑὸς στέαρ παλαιὸν, καὶ κηρὸν, καὶ ἔλαιον συμμίξας [16]καὶ λιβανωτὸν, καὶ λωτοῦ ἰχθυήματα, καὶ μίλτον, τούτῳ ὑπαλείψας, ἄρου φύλλα ἐν οἴνῳ καὶ ἐλαίῳ ἑψήσας, προστιθεὶς καταδεῖν. — [17]Ἕτερον· ἐπειδὰν [18]τῷ συείῳ στέατι ὑπαλείψῃς [19]τῷ παλαιῷ, καταλείφειν ἀσφοδέλου ῥίζας ἐν οἴνῳ τρίψας καὶ λειώσας. — [20]Ἕτερον· τήξας στέαρ συὸς παλαιὸν, [21]ξυμμίξας ῥητίνῃ καὶ

[1] Κικᾶν K. – ἕτ. om. J. – ἄλλο E. — [2] τοῦ λ. vulg. – τοῦ om. H. – μολίβδαινα EK. — [3] λιβανωτοῦ μοῖρα, μολιβδαίνης μοῖρα EH. – καὶ om. K. – τῆσδε Kühn. — [4] καὶ om. EH. – μοίρῃ K. – καὶ ἀπὸ pro ἔστω δὲ τοῦ FGIJK. — [5] τοῦ δὲ κ. EH. – κ. δὲ sine τοῦ vulg. — [6] (τοῦ EH) νέου στέατος (στέατος om., rescript. al. manu H) vulg. – Je supprime στέατος avec H, j'admets τοῦ avec EH, et je change νέου en ἐλαίου. Cette correction a été faite et insérée dans le texte par Manialdus. – ἕτερον· ἢ vulg. – ἕτ. om. FHIJK. – ἢ om., rescript. al. manu H. – υἵειον IJ. – ξὺν Lind. — [7] καταθήρας, emend. al. manu E. – λεῖον E. – μόλυβδον EJ. – μόλιβον FGI, Ald. – σὺν E. — [8] ἄλλο EH. – στέαρ.... ἔλαιον om. K. – On ne sait pas au juste ce qu'est cette *chalcitis azurée*. Quelques-uns séparent, de χαλκῖτις, κυανέη, qu'ils traduisent comme s'il y avait κυανὸς, *azur de cuivre*. — [9] περὶ om., rescript. al. manu H. – ἕτερον pro π. πυρ. L. – πυρικαύστων EI. — [10] ὧν εἰ (εἰ om. Lind.) vulg. – Je pense qu'il faut ou, comme Lind., supprimer, εἰ, ou plutôt lire ἧ et supprimer ὧν. – χλορώτατος Ald., Frob. — [11] ἐφεψεῖν J. – ὑπάλειπτον, al. manu ὑπάλειπτρον H. – ὑπαλείπτρον vulg. — [12] τοῦτο (δὲ IK) οὐ δάκνει E (H, al. manu) J. — [13] αὐτὸ om., rescript. al. manu H. — [14] διὰ vulg. – δὲ διὰ L. – Je lis δὲ

ore chaude et remuer. — Autre : graisse de porc vieille, cire, mile ; substances sèches : raclures de lotus (*celtis australis L.*), encens, molybdène (*massicot*) : de l'encens une partie, de a molybdène une, du lotus une, de la vieille graisse deux, le la cire une, de l'huile une. — Ou bien : graisse de porc vieille, seule (*sans cire*), graisse fraîche de chèvre, aussi dépouillée que possible des membranes, on la nettoye, on l'écrase en petits morceaux, ou on la pile ; on verse de l'huile, et on mêle du plomb avec de la spode (*cendre de cuivre*) et une demi-partie de raclures de lotus. — Autre : graisse de chèvre, spode, chalcitis azurée (*couperose bleue ?*), huile.

22. (*Médicaments pour les brûlures par le feu.*) Des brûlures par le feu : il faut faire cuire des racines tendres de chêne vert, là où l'écorce est le plus épaisse et verte ; on les coupe en petits morceaux, on verse du vin blanc, on fait cuire à un feu doux jusqu'à ce que la préparation paraisse assez consistante pour être employée en onction ; on ferait cuire dans l'eau de la même façon. — Autre, qui n'est pas mordant : graisse de porc vieille, seule ; on la fait fondre et on en fait une onction, puis on fend une racine de scille, on l'applique, et on la maintient par un bandage ; le lendemain on fait des affusions. — Autre : faire fondre de la graisse de porc vieille et de la cire, y mêler de l'huile, de l'encens, des raclures de lotus, du miltos (*voy. note* 16), faire des onctions avec cette préparation ; puis faire cuire des feuilles d'arum dans du vin et de l'huile, les appliquer et les maintenir par un bandage. — Autre : après avoir enduit la partie de graisse de porc vieille, vous pilerez des racines d'asphodèle dans du vin, vous les

au lieu de διὰ, suivant en cela Manialdus. – προσθεὶς L. — [15] τῇ δὲ ὑστεραίη E (ὑστερέη, al. manu αί, et καὶ τῇ ἑξῆς H). – ἐπαιονεῖν E. – ἄλλο EH. – ἄλ. om. vulg. – ὑὸς στέαρ EH. – στέαρ τε ὑὸς vulg. — [16] καὶ om., rescript. al. manu H. – Ante ἄρου addit ἕτερον L. – προστιθεὶς Codd., Ald., Frob. – προτιθεὶς vulg. – μίλτος, argile ocreuse d'après Dierbach, p. 244. — [17] ἄλλο EH. – ἕτ. om. L. — [18] δὲ τῷ J. — [19] τῷ om., rescript. al. manu H. – λεῖον, al. manu λειώσας H. – Post λ. addit ἄλειφε E. — [20] ἄλλο EH. — [21] ξ. H. – σ. vulg.

ἀσφάλτῳ, [1]αὐτὸ ἐπαλείψας ἐς ὀθόνιον, θερμήνας [2]πρὸς πῦρ, ἐπιθεὶς ἐπιδεῖν.

23. [3]Ὅταν ἐν τῷ νώτῳ ὑπὸ πληγέων ἢ ἄλλως ἕλκος γένηται, τῇ σκίλλῃ διέφθῳ τρίψας [4]καὶ ἐπ' ὀθόνιον ἀλείψας ἐπιδεῖν, ὕστερον δὲ στέαρ αἰγὸς, καὶ συὸς νέον, καὶ σποδὸν, καὶ ἔλαιον, καὶ λιβανωτὸν [5]ἐπαλείφειν.

24. Οἰδήματα ἐν τοῖσι ποσὶ γινόμενα, αὐτόματα καὶ μὴ αὐτόματα, οὐδὲν ὑπὸ τῶν καταπλασμάτων καθιστάμενα, τά τε οἰδήματα, καὶ ἡ φλεγμασίη, καὶ ἢν σπόγγους ἐπιδέῃ τις ἢ εἴρια ἤ τι ἄλλο ἐπὶ τὸ ὑγιὲς, ἔπειτα [7]ἀνοιδίσκηται αὐτόματον καὶ ἀναφλεγμαίνῃ, κατὰ φλέβας ἐπίῤῥους αἴτιόν ἐστιν αἵματος, ᾧτινι μὴ φλάσμα αἴτιόν ἐστι, καὶ ἤν που ἄλλοθι τοῦ σώματος [8]τοιοῦτόν τι γίνηται, ὁ αὐτὸς λόγος. Ἀλλὰ τοῦ αἵματος χρὴ ἀφίεναι, μάλιστα μὲν κατὰ φλέβας τὰς ἐπιῤῥεούσας, ἢν καταφανέες ἔωσιν· ἢν δὲ μὴ, κατακρούειν τὰ οἰδήματα βαθύτερα καὶ πυκνότερα, καὶ ἄλλο πᾶν ὅ τι ἂν κατακρούῃς, οὕτω χρὴ ποιέειν, καὶ ὡς ὀξυτάτοισι σιδηρίοισι καὶ λεπτοτάτοισι, καὶ ὅταν [9]ἀφαιρέῃς τὸ αἷμα, τῇ μήλῃ μὴ κάρτα πιέζειν, ὡς μὴ φλάσις προσγίνηται· ὄξει δὲ [10]κατανίζειν, καὶ θρόμβον αἵματος ἐν τοῖσι σχάσμασι μὴ ἐᾷν ἐγκαταλείπεσθαι, καταχρίσας τῷ ἐναίμῳ φαρμάκῳ, εἴρια οἰσυποῦντα κατεξασμένα μαλθακὰ ἐπιδῆσαι, ῥήνας οἴνῳ καὶ ἐλαίῳ, καὶ ἐχέτω τὸ σχασθὲν ὅκως ἀνάῤῥους εἴη τοῦ αἵματος καὶ μὴ κατάῤῥους. Καὶ μὴ τεγγέτω [11]ὅλως, καὶ ὀλιγοσιτεέτω, καὶ [12]πινέτω ὕδωρ·

[1]Καὶ αὐτὸ vulg. – καὶ om. EH. – αὐτῷ Z. – εἰς Z. – ἐς om. F. — [2]εἰς EQ'. — [3]Ante ὅ. addunt ἕτερον GZ. — [4]καὶ om., rescript. al. manu H. – ἐς ὀθ. ἐπαλείψας EH. — [5]ἐπ. om., rescript. al. manu H. — [6]περὶ οἰδημάτων τοῖς ποσὶ γινομένων in tit. E. — [7]ἀνοιδίσκεται EHZ. — [8]τοῦτο pro τ. τι E (H, rescript. al. manu). — [9]ἀφαιρέῃς L. – ἀφαιρῇς vulg. — [10]καταιονίζειν EQ'. – σχάσμασι, al. manu μοις H. – χάσμοισι vulg. — On a, dans ce traité, une idée assez complète des moyens locaux que les Hippocratiques employaient pour le traitement des plaies. Ils commençaient, dans une plaie simple, par appliquer les *enhêmes*. C'étaient des médicaments de composition fort diverse, mais qui avaient des propriétés siccatives. Puis, suivant que les plaies étaient enflammées, sordides, fongueuses, ils avaient des préparations pour chaque complication. Dans leurs médicaments cathérétiques ou excitants ils font usage de préparations de cuivre, de plomb et d'arsenic. Ils donnent aussi beaucoup d'attention à la pose du bandage. La laine en suint leur inspire une grande confiance. Les principales indications sont certainement saisies. — [11]ὅ. om., rescript. al. manu H. — [12]ὕδ. πιν. E (H, πιέτω, al. manu πινέτω).

écraserez bien, et vous en enduirez le lieu malade. — Autre : faire fondre de la graisse de porc vieille, y mêler de la résine et de l'asphalte, enduire de ce mélange un linge, chauffer ce linge au feu, l'appliquer, et mettre un bandage.

23. (*Des plaies faites dans le dos par fustigation ou autrement.*) Quand il se forme dans le dos une plaie à la suite de fustigation ou autrement, faire bien cuire de la scille, la broyer, en enduire un linge, et par-dessus mettre un bandage; plus tard, faire des onctions avec un mélange de graisse de chèvre, de graisse de porc récente, de spode (*cendre de cuivre*), d'huile et d'encens.

24. (*Gonflements auxquels il faut pratiquer des mouchetures. Traitement des mouchetures.*) Gonflements survenus aux pieds spontanément ou non spontanément, dans lesquels les applications médicamenteuses ne produisent aucun amendement ni pour la tuméfaction ni pour l'inflammation, et dans lesquels, si on applique avec un bandage des éponges ou des laines ou quelque autre chose sur les parties saines, il survient de soi-même, subséquemment de la tuméfaction et de l'inflammation : dans ces cas, la cause, si toutefois il n'y a pas eu contusion, dépend de veines affluentes qui apportent le sang. Il en est de même quand une affection pareille occupe tout autre point du corps. Il faut tirer du sang par les veines affluentes, si elles sont visibles; sinon, faire aux gonflements des mouchetures assez profondes et rapprochées. Au reste, toutes les mouchetures doivent être faites de cette façon, comme aussi avec des ferrements aussi affilés et légers que possible; et quand vous faites sortir le sang, il ne faut pas presser fortement avec la sonde, de peur de produire de la contusion. Laver avec le vinaigre, et ne pas laisser des grumeaux de sang dans les mouchetures. Enduire du médicament enhème (*voy. note* 10), appliquer des laines en suint peignées, moelleuses, imbibées d'huile et de vin, et les maintenir par un bandage. La partie opérée sera située de manière que le sang ait à monter et non à descendre pour y aborder. On

ἢν δὲ ἀπολύων εὑρίσκῃς τὰ [1]σχάσματα φλεγμαίνοντα, καταπλάσσειν [2]τῷ ἐκ τοῦ ἄγνου καὶ λίνου καρποῦ καταπλάσματι· ἢν δὲ ἑλκωθῇ τὰ σχάσματα καὶ [3]ξυῤῥαγῇ, [4]πρὸς σχῆμα ὀρέων, ἔπειτα προσφέρων ὅτου ἂν δέῃ, τὰ λοιπὰ ἰητρεύειν.

25. [5]Ὅκου δὲ κιρσὸς ἔνεστιν ἐπ' ἀντικνημίου ἢ περιφανὴς ἢ κατὰ τῆς σαρκὸς, καί ἐστι μέλαν τὸ ἀντικνήμιον, καὶ [6]δοκέει δεῖσθαι αἷμα ἀπ' αὐτοῦ ἀποῤῥυῆναι, οὐ χρὴ τὰ τοιαῦτα κατακρούειν οὐδαμῶς· ὡς γὰρ ἐπιτοπολὺ ἕλκεα μεγάλα γίνεται ἐκ τῶν [7]σχασμάτων διὰ τοῦ κιρσοῦ τὴν ἐπιῤῥοήν· ἀλλὰ χρὴ αὐτὸν τὸν κιρσὸν ἀποκεντέειν ἄλλοτε καὶ ἄλλοτε, ὅπῃ ἂν δοκέῃ καιρὸς εἶναι.

26. Ὅταν δὲ φλέβα τάμῃς, ἐπειδὰν τοῦ αἵματος ἀφῇς καὶ λύσῃς τὴν ταινίην, καὶ μὴ ἵστηται, τὰ ἀντία ὅκως ἂν ὁ [8]ῥοῦς γίνηται τοῦ αἵματος, ἐχέτω, ἤν τε χεὶρ, ἤν τε σκέλος [9]ᾖ, ὡσεὶ χωρέοντος τοῦ αἵματος ὀπίσω, καὶ οὕτως [10]ὑπομείνας χρόνον πλείω ἢ ἐλάσσω κατακείμενος, ἔπειτα ἐπιδῆσαι αὐτὸν οὕτως ἔχοντα, [11]μὴ ἐνεόντος τινὸς θρόμβου ἐν τῇ τομῇ, [ἔπειτα] σπληνίον διπλόον προσθείς, τέγξας οἴνῳ, καὶ ἄνωθεν εἴριον ἐλαιώσας καθαρόν· κἢν γὰρ ἐπίῤῥυσις τοῦ αἵματος ἔῃ βιαίη, σχέσις γίνεται ἐπιῤῥέοντος· κἢν, [12]θρόμβου ἐπὶ τῇ τομῇ γενομένου, οὕτω φλεγμήνῃ, διαπυΐσκεται. Ἠριστηκότα δὲ χρὴ πλέον ἢ ἔλαττον καὶ πεπωκότα φλεβοτομέειν, καὶ ὑποτεθερμασμένον, καὶ ἡμέρης θερμοτέρης ἢ ψυχροτέρης.

27. [13]Σικύην δὲ προσβάλλοντα χρὴ, ἢν ἐπιῤῥέῃ τὸ αἷμα ἀφῃρημένης [14]τῆς σικύης, κἢν πολὺ ῥέῃ, [15]ἢ ἰχὼρ ῥέῃ, αὐτοῖσι ταχέως, πρὶν [16]ἢ πλησθῇ, αὖθις προσβάλλων, ἐπεξέλκειν τὸ λειπόμενον· ἢν δὲ μὴ, θρόμβοι ἐνεχόμενοι ἐν τοῖσι [17]σχάσμασιν, ἔπειτα ἀναφλεγμή-

[1] Χάσμ. (bis) EJKZ. — [2] τὸ l. -καταπλάσμασι Ald. — [3] ξ. EH. -σ. vulg. — [4] πρόσχημα vulg. -πρόσχρημα FGIJKZ, Ald. -ὅτου EH. -ὅ vulg. — [5] ὅπ. FGI. -περὶ κιρσοῦ in tit. EF. — [6] δοκέει EHK. -δοκέῃ vulg. -αἷμα ἀπ' αὐτοῦ ἀποῤῥυῆναι EHQ'. -αἵματος ἀπ' α. ἀποῤῥυέντος vulg. — [7] χασμάτων EJK. -κυρσοῦ J. — [8] ῥοὺς H. -τοῦ FGHIJK. -καὶ pro τοῦ vulg. — [9] ᾖ H. -ὡς εἰ, al. manu ὡσεὶ H. -χρέοντος (sic) vulg. — [10] ὑπ. om. L. — [11] καὶ μὴ EQ'. -τινος om., rescript. al. manu H. - J'ai mis entre crochets ἔπειτα, qui est inutile, et que je supprime. C'est, je pense, l'ἔπειτα placé un peu plus haut qui a été répété ici par une erreur de copiste. -τέγξαι K. — [12] θρόμβος J. -γενομ. H. -γινομ. vulg. -ὑποθερμασμένον FGJKZ. — [13] σικυίην E. -προβάλλ. FGHJKZ, Ald., Frob. — [14] τ. σ. om. L. -σικυίης E. — [15] ἢ ἰχ. ῥ. om. J. — [16] ἢ om. EH. -αὖτις, al. manu θις H. -εἰ pro ἢν H. — [17] χάσμ. EJK.

ne fera absolument aucune affusion. Le patient mangera peu et boira de l'eau. Si, en levant l'appareil, vous trouvez les mouchetures enflammées, vous appliquerez un cataplasme d'agnus castus et de graine de lin; si les mouchetures s'ulcèrent et se déchirent, regarder à la position de la partie, puis appliquer ce qui convient, et du reste continuer le traitement.

25. (*Traitement des varices au moyen de piqûres.*) Quand il y a au devant de la jambe une varice, soit apparente, soit dans la chair, quand le devant de la jambe est noir et qu'il semble nécessaire d'en tirer du sang, il ne faut aucunement pratiquer des mouchetures, car le plus souvent il en naît de grandes plaies à cause de l'afflux du sang par la varice; mais il faut percer de temps en temps la varice même, suivant l'opportunité.

26. (*Traitement consécutif à la saignée, si besoin est.*) Quand vous ouvrez la veine, après avoir tiré du sang et détaché la bande, si le sang ne s'arrête pas, il faut tenir la partie, soit le bras, soit la jambe, de manière que le cours du sang soit en sens contraire, c'est-à-dire en arrière; le patient attendra couché dans cette position plus ou moins longtemps; puis, en cet état, vous appliquerez le bandage, aucun caillot n'étant dans l'incision, après avoir posé une compresse pliée en double et imbibée de vin, et, par dessus, de la laine propre et trempée dans l'huile. Car ce moyen, s'il y a violent afflux du sang, l'arrête, et, s'il y a de l'inflammation à la suite de quelque caillot resté dans l'incision, la mène à suppuration. La saignée doit être pratiquée sur un patient qui a déjeuné plus ou moins, qui a bû, et qui est un peu échauffé, et aussi par une journée plutôt chaude que froide.

27. (*Traitement des scarifications faites par ventouses.*) Quand on applique des ventouses, il faut, si le sang coule après l'enlèvement de la ventouse, soit qu'il coule en abondance, soit qu'il sorte une humeur ichoreuse, réappliquer incontinent la ventouse sur les mêmes scarifications avant

ναντα ἕλκεα γίνεται ἐξ αὐτῶν. Ὄξει δὲ χρὴ πάντα τὰ τοιαῦτα κατανίζειν, καὶ ὕστερον μὴ τέγγειν, μηδὲ κατακέεσθαι ἐπὶ τὰ [1] σχάσματα, τῶν δὲ ἐναίμων τινὶ φαρμάκων καταχρῖσαι τὰ σχάσματα· καὶ ὅταν κάτωθεν τοῦ [2] γούνατος δέῃ προσβάλλειν ἢ πρὸς τὸ γόνυ, ἑστηκότι ὀρθῷ, ἢν δύνηται ἑστάναι.

[1] Χάσμ. (bis) EJK. - σχήματα, emend. al. manu H. - φαρμάκω, al. manu ων F. - καταχρῖσαι Kühn. - καταχρίσαι vulg. — [2] γούν. FIJK. - γόν. vulg. προσβάλλων vulg. - προσβάλλον EH.

que le sang ne les remplisse, et retirer le reste du liquide. Si on ne le fait pas, des caillots sont retenus dans les scarifications, et ensuite il en résulte de l'inflammation et des plaies. Il faut laver tout cela avec du vinaigre, puis ne faire aucune affusion. Le patient ne se couchera pas sur les scarifications, on les oindra de quelqu'un des médicaments enhèmes (*voy. p.* 402, *note* 4). Quand on applique les ventouses au-dessous du genou ou près du genou, il faut les appliquer au patient debout, s'il peut rester dans cette attitude.

FIN DU TRAITÉ DES PLAIES.

ΠΕΡΙ ΑΙΜΟΡΡΟΙΔΩΝ.

DES HÉMORRHOÏDES.

ARGUMENT.

On trouve dans cet opuscule l'indication de la cautérisation par le fer rouge, de l'excision, et de l'emploi des cathérétiques pour le traitement des hémorrhoïdes. Il y est question du speculum de l'anus. La cause des hémorrhoïdes est rapportée au phlegme et à la bile se fixant sur le rectum. Cette théorie se trouve dans plusieurs livres hippocratiques, entre autres dans celui *Des Lieux dans l'homme*. L'opuscule des *Hémorrhoïdes* tient étroitement à celui *Des Fistules*.

BIBLIOGRAPHIE.

MANUSCRITS.

2254 = D, 2144 = F, 2141 = G, 2142 = H, 2140 = I, 214[illegible] = J, 2145 = K, Cod. Serv. ap. Foes = L, 2148 = Z, Cod. Fev[illegible] ap. Foes = Q'.

ÉDITIONS ET COMMENTAIRES.

Ce livre a paru en grec à Bâle, 1540, in-8°. — Hippocratis C[illegible]

chirurgia nunc primum græce restituta, latinitate donata et commentariis illustrata a Steph. Manialdo, M. Doct., Parisiis, 1619, in-12. — Matth. Narvatii Sylva sententiarum ad chirurgiam pertinentium ex libris Hippocratis desumta,.... 1632, in-8°.

ΠΕΡΙ ΑΙΜΟΡΡΟΙΔΩΝ.

1. Αἱμοῤῥοΐδων τὸ μὲν [1]νόσημα ὧδε γίνεται· ἐπὴν χολὴ ἢ φλέγμα ἐς τὰς φλέβας τὰς ἐν τῷ ἀρχῷ καταστηρίξῃ, θερμαίνει τὸ αἷμα τὸ ἐν [2]τοῖσι φλεβίοισι· θερμαινόμενα δὲ τὰ φλέβια ἐπισπᾶται ἐκ τῶν ἔγγιστα φλεβίων τὸ αἷμα, καὶ πληρεύμενα [3]ἐξοιδέει ἐς τὸ ἐντὸς τοῦ ἀρχοῦ, καὶ ὑπερίσχουσιν αἱ κεφαλαὶ τῶν φλεβίων, καὶ ἅμα μὲν ὑπὸ τῆς κόπρου ἐξιούσης [4]φλώμεναι, ἅμα δὲ ὑπὸ τοῦ αἵματος ἀθροιζομένου βιαζόμεναι, ἐξακοντίζουσιν αἷμα, μάλιστα μὲν ξὺν τῷ ἀποπάτῳ ἐνίοτε [5]δὲ χωρὶς τοῦ ἀποπάτου.

2. Θεραπεύειν δὲ δεῖ ὧδε· πρῶτον μὲν ὑπαρχέτω εἰδέναι ἐν οἵῳ χωρίῳ γίνονται. Ἀρχὸν γὰρ [6]καὶ τάμνων, καὶ ἀποτάμνων, καὶ ἀναῤῥάπτων, καὶ [7]δαίων, καὶ ἀποσήπων, ταῦτα γὰρ δοκέει δεινότατα εἶναι οὐδὲν ἂν σίνοιο. Παρασκευάσασθαι δὲ [8]κελεύω ἑπτὰ ἢ ὀκτὼ σιδήρια σπιθαμιαῖα τὸ μέγεθος, πάχος δὲ ὡσεὶ μήλης παχείης· ἐξ ἄκρου δ κατακάμψαι· καὶ ἐπὶ τῷ ἄκρῳ πλατὺ ἔστω ὡς ἐπὶ [9]ὀβολοῦ μικροῦ Προκαθήρας δὴ φαρμάκῳ τῇ πρότερον, αὐτῇ δὲ ᾗ ἂν [10]ἐπιχειρέῃ καῦσαι, ἀνακλίνας τὸν ἄνθρωπον ὕπτιον, καὶ προσκεφάλαιον ὑπὸ τὴ ὀσφὺν ὑποθεὶς, ἐξαναγκάζειν ὡς μάλιστα τοῖσι δακτύλοισι τὴν ἕδρη ἔξω, ποιέειν δὲ καὶ διαφανέα τὰ σιδήρια, καὶ καίειν [11]ἕως ἂν ἀποξη ράνῃς, καὶ [12]ὅκως μὴ ὑπαλείψῃς· καίειν δὲ καὶ μηδεμίην ἐᾶσο ἄκαυστον τῶν αἱμοῤῥοΐδων, ἀλλὰ πάσας ἀποκαύσεις. [13]Γνώσει δὲ c

[1] Νούσημα Lind. – ἐπὴν DFGHIJK, Ald., Frob. – ἣν vulg. – εἰς J. — [2] το D. – τῇσι φλεβίῃσι G. — [3] ἐξοικέει FGJZ. – ἐξογκέει DHIKQ′, Lind. – ἐς on vulg. – J'ai ajouté, sans mss., ἐς, que la construction me paraît demande — [4] θλώμεναι al. manu, erat prius φλώμεναι H. — [5] δὲ om. D. – τοῦ DFGI JZ, Ald., Frob. – τοῦ om. vulg. — [6] καὶ om. K. — [7] δαίων (D, in marg. a manu δέων) FGHILZ, Ald., Manialdus. – δέων vulg. – ἀποσήπτων H. – δεινό τατα F. – σύνοιο FGHIJK, Ald. — [8] λέγω DQ′. – σπηθαμιαῖα I. — [9] ὀβελ Lind. — [10] ἐπιχαιρέῃς GIJ, Ald. – ἐπιχειρίῃς D. — [11] ὅκως pro ἕως J. – ἀποξ ράνῃς DFGHIJKZ. – ἀποξηραίνῃς vulg. — [12] ὅπως Z. – ἀφάψῃς pro ὑπαλείψ l egit cum Cornar. Foes in notis. – ἀποκαύσῃς D. – Manialdus donne à ὑπ λείψῃς le sens de *leviter contingere*. Je le suis pour ne pas être obligé toucher au texte. Il fait remarquer la contradiction entre ce passage

DES HÉMORRHOÏDES.

1. (*Formation des hémorrhoïdes.*) La maladie hémorrhoïdale se produit ainsi : La bile ou le phlegme, se fixant dans les veines du rectum, échauffe le sang qui est dans les veines; ces veines, échauffées, attirent, des veines les plus voisines, le sang, se remplissent et font tumeur dans l'intérieur du rectum. Les têtes des veines sont saillantes, et, à la fois contuses par les excréments qui sortent, pressées par le sang qui s'y accumule, elles projettent ce liquide, surtout avec les selles, mais quelquefois sans les selles.

2. (*Cautérisation des hémorrhoïdes avec le fer rouge.*) Il faut traiter ainsi : d'abord arrangez-vous de manière à voir en quel endroit sont situées les hémorrhoïdes. Vous pouvez inciser, exciser, coudre, brûler, corroder l'anus (toutes opérations qui paraissent le plus terribles), sans causer de dommage. Je vous recommande de vous munir de sept ou huit ferrements, longs d'un empan, épais comme une forte sonde, courbés à l'extrémité et ayant à cette extrémité un aplatissement comme une petite obole. La veille de l'opération vous purgerez le patient; le jour où vous entreprendrez la cautérisation, vous le ferez coucher sur le dos avec un oreiller sous les lombes; vous ferez autant que possible, avec les doigts, saillir le fondement au dehors; vous aurez vos ferrements chauffés à blanc, et vous cautériserez jusqu'à ce que la dessiccation soit opérée, et de manière à ne pas y toucher légèrement;

Aph. VI, 12, où il est dit qu'il faut conserver une hémorrhoïde. Du reste il rappelle que des auteurs, commentant cet aphorisme, l'avaient lu et entendu autrement (ils supprimaient μία), disant qu'Hippocrate y recommandait, non de laisser une hémorrhoïde, mais de prendre les précautions convenables après la cure radicale de cette affection. — [13] γνώση DFGHIJKZ.

χαλεπῶς τὰς αἱμοῤῥοΐδας· ὑπερέχουσι γὰρ [1] ἐς τὸ ἐντὸς τοῦ ἀρχοῦ, οἷον ῥᾶγες πελιδναὶ, καὶ ἅμα ἐξαναγκαζομένου τοῦ ἀρχοῦ ἐξακοντίζουσιν αἷμα. Κατεχόντων δ' αὐτῶν, ὅταν [2] καίηται, τῆς κεφαλῆς καὶ τὰς χεῖρας, ὡς μὴ κινέηται, βοάτω καιόμενος· ὁ γὰρ ἀρχὸς μᾶλλον ἐξίσχει. Ἐπὴν δὲ καύσῃς, φακοὺς καὶ ὀρόβους ἑψήσας ἐν ὕδατι, τρίψας [3] λείους, κατάπασσε πέντε ἢ ἓξ ἡμέρας· τῇ δὲ ἑβδόμῃ σπόγγον μαλθακὸν τάμνειν ὡς [4] λεπτότατον, πλάτος δὲ εἶναι τοῦ σπόγγου ὅσον ἓξ δακτύλων πάντῃ· ἔπειτα ἐπιθεῖναι ἐπὶ τὸν σπόγγον ὀθόνιον ἴσον [5] τῷ σπόγγῳ λεπτὸν καὶ λεῖον, ἀλείψας μέλιτι· ἔπειτα ὑποβαλὼν τῷ δακτύλῳ τῷ λιχανῷ τῆς ἀριστερῆς χειρὸς μέσον τὸν σπόγγον, [6] ὦσαι κάτω τῆς ἕδρης ὡς προσωτάτω· ἔπειτα ἐπὶ τὸν σπόγγον [7] προσθεῖναι εἴριον, ὡς ἂν ἐν τῇ ἕδρῃ ἀτρεμίζῃ. Διαζώσας δὲ ἐν τῇσι λαγόσι, καὶ ὑφεὶς ταινίην ἐκ [8] τοῦ ὄπισθεν, ἀναλαβὼν ἐκ τῶν σκελέων τὸν ἐπίδεσμον, ἀναδῆσαι ἐς τὸ διάζωσμα παρὰ τὸν ὀμφαλόν. Τὸ δὲ φάρμακον, ὃ εἶπον, [9] ἐπίδει τὸ πυκνὴν τὴν σάρκα ποιέον καὶ ἰσχυρὴν φῦναι. Ταῦτα δὲ δεῖ ἐπιδεῖν μὴ ἔλασσον ἡμερῶν εἴκοσι. [10] Ῥοφέειν δὲ ἅπαξ τῆς ἡμέρης ἄλευρον, ἢ κέγχρον, ἢ [11] τὸ ἀπὸ τῶν πιτύρων, καὶ πίνειν ὕδωρ· ἢν δὲ ἐς ἄφοδον ἴζηται, ὕδατι θερμῷ διανίζειν· λούεσθαι δὲ διὰ τρίτης [12] ἡμέρης.

3. [13] Ἑτέρη θεραπείη· ἐκβαλὼν τὴν ἕδρην ὡς μάλιστα, αἰονᾶν ὕδατι θερμῷ, ἔπειτα ἀποτάμνειν τῶν αἱμοῤῥοΐδων τὰ ἄκρα· φάρμακον [14] δὲ προκατασκευασθῆναι πρὸς τὴν τομὴν τόδε· οὐρήσας ἐς χαλκεῖον, [15] ἐπίπασσον ἐπὶ τὸ οὖρον χαλκοῦ ἄνθος ὀπτοῦ καὶ τετριμμένου λείου, ἔπειτα διεὶς, καὶ κινήσας τὸ χαλκεῖον, ξήρανον ἐν τῷ ἡλίῳ· ὅταν δὲ ξηρὸν γένηται, συνξύσας τρῖψον λεῖον. Προστίθει τῷ [16] δα-

[1] Εἰς J. — [2] κέηται GZ. - τῶν χειρῶν DQ'. - Post βοάτω addit δὲ Lind. — [3] λεῖον D. — [4] λεπτόστατον (sic) H. — [5] τὸ J. - λειχανῷ GK. — [6] ὦσαι.... σπόγγον om., restit. al. manu D. — [7] προθεῖναι Z. — [8] τῶν K. — [9] ἐπιδεῖτο (ἐπιδεῖν DHIJK) πυκνὴν (πικνὴν F) τὴν σάρκα ποιέειν vulg. - Je lis ἐπίδει τὸ et ποιέον. - φῆναι FGJZ. - Le médicament auquel l'auteur fait ici allusion paraît à Foes être le médicament composé d'alun et de myrrhe dont il est parlé dans le livre *Des Fistules*. — [10] ῥυφέειν K. — [11] τῶ K. - τὸ om. Z. — [12] ἡμέρας J. — [13] ἑ. θ. om. F. - ἑτέρη GIJ. - ἑτέρα vulg. - ἄλλη D, Lind. - μέθοδος pro θεραπείη GZ, Ald. — [14] δὲ χρὴ J. - προκατασκευασθῆναι DGK. - προκατασκευάζειν J. - προσκατασκευασθῆναι vulg. - ὧδε pro τόδε DQ', Lind. — [15] ἐπίπασσων (sic) Z. — [16] δακτύλῳ vulg. - δακτυλίῳ cum Cornar. Foes in not. - Cette correction de Cornarius paraît sûre.

mais vous n'en laisserez aucune sans la brûler, toutes seront cautérisées. Vous reconnaîtrez les hémorrhoïdes sans difficulté: elles font saillie dans l'intérieur du rectum comme des grains de raisin livides, et on en fait jaillir du sang en forçant sur le rectum. Des aides tiendront le patient, pendant la cautérisation, par la tête et par les mains, afin qu'il ne remue pas. Il criera pendant l'opération, car des cris font saillir davantage l'anus. Après l'opération, vous aurez des lentilles et de l'ers bouillis dans de l'eau et écrasés bien fin, et vous les appliquerez en cataplasme pendant cinq ou six jours. Le septième, coupez une éponge molle aussi mince que possible; la largeur de l'éponge sera de six doigts en tous sens; puis vous mettrez sur l'éponge un linge égal à l'éponge, fin et souple, et vous l'oindrez de miel. Ensuite, plaçant l'éponge par le milieu sur le doigt indicateur de la main gauche, vous l'introduirez dans l'anus aussi avant que possible; cela fait, vous placerez sur l'éponge un lainage, afin qu'elle ne se dérange pas. Vous mettrez un bandage de corps; à ce bandage vous attacherez par derrière une écharpe que vous ramènerez entre les cuisses jusqu'à l'ombilic, où vous la fixerez au bandage de corps. Vous appliquerez le médicament que j'ai dit (*voy. note* 9) et qui est propre à produire une chair ferme et forte. Ces applications avec le bandage ne dureront pas moins de vingt jours. Le patient prendra une fois par jour un potage de gruau d'orge ou de panic (*panicum miliaceum* L), ou l'eau de son (*voy.* du Régime, liv. II, § 42); il boira de l'eau; s'il va à la selle, il se lavera avec de l'eau chaude; il prendra un bain tous les deux jours.

3. (*Excision des hémorrhoïdes.*) Autre traitement: faire sortir l'anus autant que possible, fomenter la partie avec de l'eau chaude, puis exciser le bout des hémorrhoïdes. On aura tout prêt pour l'excision le médicament suivant: urinez dans un vase de cuivre, jettez dans l'urine de la fleur de cuivre grillée et pilée fin, laissez macérer, remuez le vase, séchez au soleil; quand la dessiccation est complète, râclez et pilez

κτυλίῳ, καὶ σπληνία ἐλαιώσας προστίθει, καὶ σπόγγον ἐπάνω ἐπίδει.

4. [1]Ἕτερος τρόπος· προσφύεται πρὸς τῇ αἱματίτιδι τῇ κονδυλώδει οἷον συκαμίνου καρπός· καὶ [2]ἢν μὲν ἔξω σφόδρα ᾖ ἡ κονδύλωσις, περιπέφυκεν αὐτῇ καλυπτὴρ ὁ τῆς σαρκός. [3]Καθίσας οὖν τὸν ἄνθρωπον ὀκλὰξ ἐπὶ ὅλμων δύο, σκόπει· εὑρήσεις γὰρ [4]πεφυσημένα τὰ μεσηγὺ τῶν γλουτῶν παρὰ τὴν ἕδρην, τὸ δὲ αἷμα ἐκχωρέον ἔνδοθεν. Ἢν γοῦν [5]ἐνδιδῷ ὑπὸ τῷ καλυπτῆρι, τὸ κονδύλωμα τῷ δακτύλῳ ἀφελεῖν· οὐδὲν γὰρ χαλεπώτερον ἤ περ προβάτου δειρομένου τὸν δάκτυλον μεταξὺ τοῦ δέρματος καὶ τῆς σαρκὸς περαίνειν· καὶ ταῦτα διαλεγόμενος ἅμα [6]λάνθανε ποιέων. Ἐπὴν δὲ ἀφέλῃς τὸ κονδύλωμα, ἀνάγκη [7]ῥέεσθαι δρόμους αἵματος ἀπὸ πάσης τῆς ἀφαιρέσιος· [8]ταῦτα χρὴ ἀποπλῦναι οἴνῳ αὐστηρῷ, κηκίδας ἐναποβρέξας· καὶ ἥ τε αἱματῖτις οἰχήσεται σὺν τῷ κονδυλώματι, καὶ τὸ κάλυμμα καταστήσεται, καὶ ὅσῳ ἂν παλαιότερον ᾖ, ῥηϊδίως ἔσται ἡ ἴησις.

5. Ἢν δὲ [9]ἀνωτέρω ᾖ ἡ κονδύλωσις, τῷ κατοπτῆρι σκέπτεσθαι, καὶ μὴ ἐξαπατᾶσθαι ὑπὸ τοῦ κατοπτῆρος· [10]διοιγόμενος γὰρ ὁμαλύνει τὴν κονδύλωσιν, ξυναγόμενος δὲ πάλιν δείκνυσιν ὀρθῶς. Ἀφαιρέειν δὲ χρή, ἐλλεβόρῳ μέλανι [11]ὑπαλείφοντα τὸν δακτύλιον· ἔπειτα τριταῖον οἴνῳ κλύζειν αὐστηρῷ. Τὸ δὲ αἷμα, ὅταν ἀφέλῃς τὴν κονδύλωσιν, ὅτι οὐ ῥέει, μὴ θαυμάζειν· οὐδὲ γὰρ ἢν ἐν τοῖσιν ἄρθροισι [12]διατάμῃς τὰς χεῖρας ἢ τὰ σκέλεα, οὐ ῥεύσεται αἷμα· ἢν δ' ἄνωθεν ἢ κάτωθεν [13]τάμῃς τῶν ἄρθρων, εὑρήσεις κοίλας φλέβας καὶ αἱμόῤῥους, καὶ χα-

[1] Ἕτ. τρ. om. F. – ἄλλος DHIJK. – Post τρόπος addunt ἰήσιος HIK, Lind ; ἰήσεως J; ἰάσεως D; τάσεως (sic) Q'. – κονδυλώσει DFGHI. – κονδυλήσει (sic) J. — [2] ἢν DFHIJK. – εἰ vulg. — [3] καθήσας H. – D'après Manialdus, ὅλμων δύο signifie les deux fesses; il s'appuie sur une glose d'Hésychius, qui dit que τὸ ὑπὸ ταῖς ὑπογλουτίσιν ἑκατέρωθεν κοῖλον se nomme ὅλμος, et sur le Scholiaste d'Aristophane où on lit : τὸ μέρος ἐν ᾧ κάθηται καλεῖται ὅλμος. — [4] πεφυσσημένα J. – πεφυσημένει (sic) F. – μεσσηγὺ J. – ἐκχωρέον HK. – ἐκχωρέειν vulg. — [5] ἐνδίδοι vulg. – Lisez ἐνδιδῷ. – τῇ pro τῷ DFGHIJK, Ald., Frob. – καλυπτρίδι J. – Ante τὸ addit ἢ vulg. – ἢ om. Foes in not., Lind. – τῶ pro τὸ Z. — [6] λανθάνει K. – λανθάνῃ Lind. — [7] δύεσθαι J. – κύεσθαι DFG HIKZ, Ald. – ἀφαιρήσιος H. — [8] ταῦτα DHIKQ', Lind. – τάχα pro ταῦτα vulg. – κικίδας DHJ. – ἐπιβρέξας GZ, Ald. – αἱματίτης K. – κάλυμα IK. – ῥηδίως I. — [9] ἀνώτερος vulg. – Il faut lire ἀνωτέρω ou ἀνωτέρη. — [10] διοιγόμενος D. – διηγόμενος (H, al. manu διοιγόμενος) IK. – διηγούμενος vulg. — [11] ὑπολείφοντα (sic) I. – δάκτυλον vulg. – Tous les traducteurs lisent δακτύλιον. – τριταῖον

fin; appliquez ce médicament à l'anus, mettez des compresses huilées, et par dessus maintenez une éponge à l'aide du bandage.

4. (*Condylome situé au dehors de l'anus.*) Autre : il vient à la veine sanguine atteinte de condylome une tumeur semblable au fruit du sycomore (*ou du murier, voy.* Fraas, Synopsis, p. 236). Si le condylome est très en dehors, la chair lui forme une sorte d'enveloppe. Faites asseoir le patient accroupi sur deux supports, et examinez : vous trouverez l'entre-deux des fesses gonflé vers l'anus et le sang coulant de l'intérieur. Si le condylome cède sous l'enveloppe, enlevez-le avec le doigt; ce ne sera pas plus difficile que de faire glisser le doigt entre la peau et la chair d'un mouton qu'on écorche. Cela peut se faire en parlant sans que le patient en soit averti. Le condylome enlevé, il s'écoulera nécessairement un flot de sang de toute la surface de l'ablation. Il faut laver avec un vin astringent où l'on a fait tremper des noix de galle. De la sorte, la veine sanguine s'en ira avec le condylome, et l'enveloppe s'affaissera. Plus le mal est ancien, plus la guérison est facile.

5. (*Condylome placé dans l'intérieur du rectum. Emploi du spéculum. Singulière opinion sur les hémorrhagies.*) Si le condylome est situé plus haut, il faut examiner au spéculum, et ne pas se laisser tromper par cet instrument. En effet, ouvert, il aplatit le condylome; fermé, il le montre très-bien. Il faut enlever le condylome et frotter l'anus avec l'hellébore noir. Puis, le troisième jour, on nettoyera avec du vin astringent. Ne vous étonnez pas, quand vous enlevez ce condylome, que du sang ne s'écoule pas; en effet, il ne s'en écoule pas même lorsque vous incisez les bras ou les jambes aux articulations, mais, si vous les incisez au-dessus ou au-dessous des articulations, vous trouverez des veines grosses et

H. -τριταίῳ vulg. — [12] τάμῃς J. — [13] διατάμῃς D. -φλέβας κοίλας DHIK. -αἱμόῤῥοα Ald. -ἴσχῃς J.

λεπῶς ἂν ἴσχοις εὐπόρως. Οὕτω καὶ τὴν ἐν τῇ ἕδρῃ αἱμοῤῥοΐδα, ἢν μὲν ἄνωθεν ἢ κάτωθεν τάμῃς τῆς [1]ἀφαιρέσιος τοῦ κονδυλώματος, αἷμα ῥεύσεται· ἢν δὲ αὐτὴν ἀφέλῃς τὴν κονδύλωσιν ἐν τῇ [2]προσφύσει, οὐ ῥεύσεται. [3]Ἢν μὲν οὖν οὕτω καθίσταται, καλῶς ἂν ἔχοι· [4]ἢν δὲ μὴ, καῦσαι, φυλασσόμενος ὡς μὴ ἅψῃ τῷ σιδήρῳ, ἀλλ' ἐγγὺς προσφέρων τὰ σιδήρια ἀποξηραίνειν, καὶ προστιθέναι τὸ τοῦ χαλκοῦ ἄνθος [5]τὸ ἐν τῷ οὔρῳ.

6. [6]Ἕτερος τρόπος ἰήσιος αἱμοῤῥοΐδων· καυστῆρα ποιήσασθαι, οἷον καλαμίσκον [7]φραγμίτην· σιδήριον δὲ ἐναρμόσαι καλῶς ἁρμόζον· ἔπειτα τὸν αὐλίσκον ἐνθεὶς ἐς τὴν ἕδρην, διαφαῖνον τὸ σιδήριον καθιέναι, καὶ πυκνὰ ἐξαιρέειν, ἵνα μᾶλλον ἀνέχηται θερμαινόμενος· καὶ οὔτε ἕλκος [8]ἕξει ὑπὸ τῆς θερμασίης, ὑγιέα τε ξηρανθέντα τὰ [9]φλέβια.

7. Ἢν δὲ βούλῃ μήτε καίειν, μήτε ἀποτάμνειν, [10]προκαταιονήσας ὕδατι πολλῷ θερμῷ, καὶ ἐκτρέψας τὴν ἕδρην, σμύρναν τρίψας λείην καὶ [11]κηκίδα, καὶ στυπτηρίην αἰγυπτίην κατακαύσας, [12]ἓν καὶ ἥμισυ πρὸς τἄλλα, καὶ μελαντηρίης [13]ἄλλο τοσοῦτον, τουτέοισι ξηροῖσι χρῆσθαι· ἡ δὲ αἱμοῤῥοῒς τουτέοισι [14]τοῖσι φαρμάκοισιν ἀποστήσεται, ὥσπερ σκύτος κατακεκαυμένον· [15]ταῦτα ποιέειν μέχρις ἂν πάσας ἀφανίσῃς. Καὶ χαλκίτιδος ἥμισυ κεκαυμένον τωὐτὸ ἀπεργάζεται.

8. Ἢν δὲ [16]βούλῃ βαλάνοισιν ἰῆσθαι, σηπίης ὄστρακον, μολυβδαίνης τρίτον μέρος, ἄσφαλτον, στυπτηρίην, ἄνθος ὀλίγον, [17]κηκίδα, χαλκοῦ ἰὸν ὀλίγον, τουτέων μέλι ἑφθὸν καταχέας, βάλανον ποιήσας μακροτέρην, προστίθει, μέχρις ἂν ἀφανίσῃς.

[1] Ἀφαιρήσιος D. – ἀφαιρέσεως K. — [2] προφύσει IJ. — [3] Il faudrait lire εἰ; car ἢν ne se trouve guère avec l'indicatif dans les écrits hippocratiques. — [4] εἰ J. — [5] τῶ DHZ. — [6] ἕ. τρ. ἰ. αἱ. om. K. – τῆς ἰήσιος Q', Lind. – ἰήσεως J. – ἰήσιος αἱμ. om. Z. – αἱμ. om. DJ. – καυτῆρα Codd. quidam mss. ap. Foes in not., Lind. – Il y a dans le Gloss. de Galien : καυτῆρα, χάλκεον καλαμίσκον. — [7] φαρμακίτην DFGHIK, Ald., Frob. – ἐναρμόσσαι F. — [8] ἕξῃ Lind. — [9] Post φλ. addit [γένηται] Lind. – βούλει H. — [10] προσκαταιονήσας GJK, Ald. – ἐκστρέψας DHK. — [11] κικίδα DHJ. — [12] ἓν om., restit. in marg. D. – καὶ om. K. – μελαντηρίοισιν FGZ, Ald., Frob. – μελαντηοίοις IJ. — [13] ἄλλο.... τουτέοισι secundum om. F. – τοσοῦτο DHIJK. – ξηροῖσι DHIJK. – ξηροῖς vulg. — [14] τοῖσι om. G, Ald. — [15] ταῦτα.... κεκαυμένον om., restit. al. manu D. — [16] βούλει H. – βαλανίοισιν DFIJKZ, Ald. – σιπίης FGIKZ, Ald. – μολιβδαίνης K, Ald., Frob. – μολιβδίνης J. — [17] κικίδα DHJ.

pleines de sang, et vous ne vous rendrez pas sans peine maître de l'écoulement. De même pour les hémorrhoïdes ; si vous les incisez au-dessus ou au-dessous du lieu d'où le condylome a été ôté, du sang s'écoulera ; mais quand vous enleverez le condylome lui-même par son attache, il ne s'en écoulera pas. S'il en est ainsi, la chose est bien ; sinon, vous cautériserez en ayant soin de ne pas toucher avec le ferrement ; mais vous ne ferez qu'approcher le fer de manière à dessécher la partie. Vous appliquerez aussi la fleur de cuivre préparée dans l'urine.

6. (*Caléfaction des hémorrhoïdes à l'aide d'un ferrement rouge porté à travers une canule de cuivre.*) Autre mode de guérison des hémorrhoïdes : ayez une canule [en cuivre] creuse comme l'arundo phragmites, et un ferrement qui s'y adapte exactement; puis introduisez la canule dans l'anus, et le ferrement chauffé à blanc dans la canule; vous retirerez fréquemment le ferrement afin que le patient supporte mieux la chaleur. Cette chaleur ne produira pas d'ulcération, et, séchant les veines, les guérira.

7. (*Traitement, sans cautérisation ni incision, par les cathérétiques.*) Si vous ne voulez ni brûler ni inciser, faites préalablement des fomentations avec beaucoup d'eau chaude; faites sortir le fondement, ayez de la myrrhe et de la noix de galle broyées fin, de l'alun d'Égypte calciné (une partie et demie par rapport au reste), autant de noir de cordonnier; vous emploierez cette préparation sèche. L'hémorrhoïde, à l'aide de ces médicaments, se détachera comme une pièce de peau cautérisée. Vous répéterez ces applications jusqu'à ce que les hémorrhoïdes aient toutes disparu. Une demi-partie de chalcitis calcinée produit le même effet.

8. (*Traitement par les suppositoires.*) Si vous voulez traiter avec les suppositoires, prenez l'os de la sèche, un tiers de molybdène (*massicot*), de l'asphalte, de l'alun, un peu de fleur de cuivre, de la noix de galle, un peu de vert de gris; versez là-dessus du miel cuit; faites-en un suppositoire allongé, et appliquez-le jusqu'à ce que les hémorrhoïdes aient disparu.

9. [1]Γυναικείην αἱμοῤῥοΐδα ὧδε θεραπεύειν· πολλῷ ὕδατι θερμῷ αἰονήσας, [2]σύνεψε δὲ ἐν τῷ θερμῷ τῶν εὐωδέων, τρίψας μυρίκην, λιθάργυρον ὀπτὴν, καὶ [3]χηκίδα, οἶνον λευκὸν παράχεε καὶ ἔλαιον καὶ χηνὸς στέαρ, τρίψας [4]ὁμοῦ πάντα, διδόναι, ὁκόταν αἰονηθῇ, διαχρήσασθαι· αἰονᾷν δὲ καὶ τὴν ἕδρην [5]ἐξώσας ὡς μάλιστα.

[1] Γυν. αἱ. ὧ. θ. om. K. — [2] συνέψαι J. - συνέψε Z. — [3] κικίδα DHJ. — [4] πάντα ὁμοῦ DFHIJK. - [καὶ] ὁκόταν Lind. - διαχρίσασθαι FIK. - διαχρίεσθαι DH. — [5] ἐξεώσας D. - D'après Manialdus, ἕδρην signifie ici *locus*, la vulve, et il entend ce paragraphe, non d'hémorrhoïdes développées chez une femme, mais d'hémorrhoïdes survenues à l'utérus ou à la vulve comme dans Aétius, XVI, 99.

9. (*Hémorrhoïdes chez les femmes.*) Chez les femmes on traitera ainsi les hémorrhoïdes : faites des fomentations abondantes avec l'eau chaude dans laquelle vous aurez fait bouillir des plantes aromatiques ; broyez de la myrice (*tamarix africana*, Desfont.), de la litharge grillée, de la noix de galle ; versez du vin blanc, de l'huile et de la graisse d'oie, broyez le tout ensemble; cette préparation s'emploie après les fomentations; il faut fomenter le fondement après l'avoir fait sortir autant que possible.

FIN DU LIVRE DES HÉMORRHOÏDES.

ΠΕΡΙ ΣΥΡΙΓΓΩΝ.

DES FISTULES.

ARGUMENT.

Cet opuscule traite des fistules du rectum, de l'inflammation et de la chute de cet intestin. On y trouve un pronostic fort exagéré sur la gravité des fistules abandonnées à elles-mêmes.

Il n'est pas fait mention, pour la fistule rectale, de la méthode par incision, qui est aujourd'hui très-communément employée.

Cependant l'auteur conseille, en cas de fistule borgne, d'inciser le trajet fistuleux.

Les Hippocratiques avaient fort bien reconnu l'espèce de membrane que les fistules présentent. Ils donnent à cette membrane le nom de tunique, *χιτών*. C'est pour la détruire, pour renouveler le trajet de la fistule, et y rendre possible un travail de cicatrisation, qu'ils introduisent des préparations cathérétiques.

BIBLIOGRAPHIE.

MANUSCRITS.

2254 = D, 2144 = F, 2141 = G, 2142 = H, 2140 = I, 2143 =

J, 2145 = K, Cod. Serv. ap. Foes = L, 2332 = X, 2148 = Z, Cod. Fevr. ap. Foes = Q′.

ÉDITIONS, TRADUCTIONS ET COMMENTAIRES.

Vidus Vidius, voy. p. 398. — Manialdus, voy. p. 434.

ΠΕΡΙ ΣΥΡΙΓΓΩΝ.

1. [1]Σύριγγες γίνονται μὲν ὑπὸ φλασμάτων καὶ φυμάτων, γίνονται δὲ [2]καὶ ὑπὸ ἐρεσίης, καὶ ἱππασίης, ὅταν ἀθροισθῇ ἐν τῷ γλουτῷ αἷμα πλησίον τῆς ἕδρης· σηπόμενον γὰρ νέμεται [3]ἐς τὰ μαλθακὰ, ἅτε ὑγροῦ ἐόντος τοῦ τε ἀρχοῦ, καὶ τῆς σαρκὸς μαλθακῆς, ἐν ᾗ νέμεται, ἔστ' ἂν τὸ φῦμα ῥήξῃ καὶ κάτω ἐς τὸν ἀρχὸν διασήψῃ. Ἐπὴν δὲ τοῦτο γένηται, συριγγοῦται, καὶ [4]ἰχὼρ ῥέει, καὶ κόπρος ῥεῖ δι' αὐτῆς καὶ φῦσα καὶ βδελυγμίη πολλή. Ὑπὸ μὲν οὖν τῶν φλασμάτων γίνεται, ὁκόταν τι τῶν περὶ τὸν ἀρχὸν [5]χωρίων φλασθῇ ὑπὸ πληγῆς, ἢ ὑπὸ πτώματος, ἢ ὑπὸ τρώματος, ἢ ἱππασίης, [6]ἢ ἐρεσίης, ἢ ὅσα τοιουτότροπά ἐστι· ξυνίσταται γὰρ αἷμα· σηπόμενον δὲ ἐκπυΐσκεται· ὑπὸ δὲ τοῦ ἐκπυϊσκομένου πάσχει ἅπερ ἐπὶ τῶν φυμάτων εἴρηται.

2. Πρῶτον μὲν οὖν ὅταν τι τοιοῦτον [7]αἴσθῃ φυόμενον φῦμα, τάμνειν ὡς τάχιστα ὠμὸν πρὶν ἢ διαπυῆσαι ἐς τὸν ἀρχόν.

3. Ἢν δὲ νοσέοντα ἤδη τὴν σύριγγα παραλάβῃς, [8]λαβὼν σκορόδου φύσιγγα νεαρὴν, ἀνακλίνας τὸν ἄνθρωπον ὕπτιον, τὰ σκέλεα διαγαγὼν τὸ μὲν ἔνθα, τὸ δὲ ἔνθα, τὴν φύσιγγα καθιέναι ἔστ' ἂν προσκόψῃ, μετρῆσαί [9]τε τὸ βάθος τῆς σύριγγος τῇ φύσιγγι, καὶ [10]σεσέλιος δὲ ῥίζαν κόψας ὡς λεπτοτάτην, ὕδωρ ἐπιχέας, [11]βρέχειν τέσσαρας ἡμέρας· καὶ προνηστεύσας πινέτω μέλιτι παραμίσγων τὸ ὕδωρ κατὰ τρεῖς κυάθους· ἐν τούτῳ κάθαιρε καὶ τὰς ἀσκαρίδας. Ὁκόσοι δ' ἂν καταλείφθωσιν ἀθεράπευτοι, θνήσκουσιν. Ἔπειτα ὀθόνιον [12]βύσσινον τιθυμάλλου ὀπῷ τοῦ μεγάλου δεύσας, καταπάσσων ἄνθος χαλκοῦ ὀπτὸν τετριμμένον, στροβίλην ποιήσας ἴσην [13]τῇ σύριγγι τὸ μῆκος,

[1] Post σ. addunt δὲ DFGHK. — [2] καὶ om. J. – εἰρεσίης DGHIK. — [3] ἐς D. – εἰς vulg. — [4] ἰχὼρ ῥέει K. – ἰχωρέει vulg. – ὑποχωρέει L. – ἰχωῤῥοέει Lind. – δι' ἑωυτῆς vulg. – Je lis αὐτῆς. – φύσσα J. — [5] χωρίον Lind. – θλασθῇ J. — [6] ἢ ἐρ. om. Lind. – εἰρεσίης DHJ. — [7] αἰσθηθῇ J. – τὴν ἀρχὴν pro τὸν ἀρχὸν Z. — [8] λαβὼν om., restit. al. manu D. – σκόροδον J. – σκορόδον (sic) D. – ὕπτια J. — [9] δὲ pro τε DH. – φύσιγγος τῇ σύριγγι J. — [10] σεσέλεως vulg. – σεσέλιος DH. – λεπτοτάτης Ald. – ἐπιχέειν D. — [11] ἐπιβρέχειν K. – ἐπὶ τέσσαρας J. — [12] βύσινον D. – τιθυμάλου DHK. – ὀπῶ H. – ὀπὸν D. – ὀποῦ vulg. — [13] τῇ om. DH.

DES FISTULES.

1. (*Mode de production des fistules.*) Les fistules proviennent de contusions et de tumeurs ; elles proviennent aussi du travail de la rame et de l'exercice du cheval ; il s'amasse du sang à la fesse, près du fondement ; ce sang, se corrompant, s'étend dans les parties molles (le rectum est humide et la chair où il s'étend est molle), jusqu'à ce que la tumeur se rompe et que la corruption gagne le bas du rectum. Cela fait, il y a une fistule, donnant issue à de l'humeur, à des matières stercorales, à des gaz et à toutes sortes d'ordures. Les contusions produisent la fistule, quand un point de la région anale est contus, soit par un coup, soit par une chute, soit par une plaie, soit par l'exercice du cheval, soit par le travail de la rame, soit de toute autre façon analogue; en effet, du sang se rassemble, qui se corrompt et suppure ; et la suppuration donne lieu aux mêmes accidents qu'il a été dit pour la tumeur.

2. (*Inciser la tumeur à l'état de crudité.*) D'abord, quand on sent qu'il se forme quelque tumeur de ce genre, il faut l'inciser aussitôt que possible, à l'état de crudité, avant que la suppuration ne pénètre dans le rectum.

3. (*Traitement de la fistule par les cathérétiques portés à l'aide d'une tente.*) Si le malade vient entre vos mains étant déjà porteur d'une fistule, prenez la tige creuse et fraîche d'un pied d'ail, couchez l'homme sur le dos, écartez les jambes l'une d'un côté, l'autre de l'autre, enfoncez la tige jusqu'à ce qu'elle heurte, mesurez la profondeur de la fistule par cette tige ; coupez la racine de séséli (*tordylium officinale*, L.) aussi menu que possible, versez de l'eau et humectez pendant quatre jours. Le patient, ayant fait préalablement diète, boira, par trois cyathes (0 lit.,135), cette eau où du miel aura été mêlé. Par ce moyen faites sortir aussi les ascarides. Les patients qu'on abandonne sans les traiter succombent. Puis hu-

ῥάμμα διεὶς δι' ἄκρας τῆς [1]στροβίλης καὶ αὖθις διὰ τῆς φύσιγγος, ὕπτιον κατακλίνας τὸν ἄνθρωπον, κατοπτῆρι κατιδὼν τὸ διαβεβρωμένον τοῦ ἀρχοῦ, ταύτῃ τὴν φύσιγγα διεῖναι· καὶ ὁκόταν παρακύψῃ ἐς τὸν ἀρχὸν, ἐπιλαμβανόμενος ἕλκειν, ἄχρις οὗ ἡ στροβίλη διωσθῇ καὶ [2]ἰσωθῇ τῷ τε ἄνω καὶ τῷ κάτω· ἐπὴν δὲ ἐσωσθῇ, βάλανον ἐνθεὶς κερατίνην ἐς τὸν ἀρχὸν, γῇ διαχρίσας σμηκτρίδι, τὸν ἀρχὸν ἐᾷν· ἐπὴν δὲ ἀποπατέῃ, ἐξαιρέειν, καὶ αὖθις προστιθέναι, ἕως ἂν πεμπταίη γένηται· ἕκτῃ δὲ ἡμέρῃ ἐξαιρέειν, ἕλκων τὴν στροβίλην ἔξω τῆς σαρκός· καὶ τρίψαι [3]στυπτηρίην μετὰ ταῦτα, καὶ πλήσας τὴν βάλανον καὶ ἐς τὸν ἀρχὸν ἐμβαλὼν, ἐᾷν ἄχρις [4]οὗ ἡ στυπτηρίη ὑγρὴ γένηται· [5]τὸν δὲ ἀρχὸν σμύρνῃ ἀλείφειν, ἄχρις οὗ ἂν δοκέῃ ξυμπεφυκέναι·

4. [6]Ἑτέρη θεραπείη· ὠμόλινον λαβὼν ὡς λεπτότατον, συμβάλλειν ὅσον [7]σπιθαμιαῖον πεντάπλουν, καὶ ξυμπεριλαβεῖν ἱππείην τρίχα· ἔπειτα [8]ποιησάμενος μήλην κασσιτερίνην ἐπ' ἄκρου τετρημένην, ἐνείρας ἐς τὴν μήλην τὴν ἀρχὴν τοῦ ὠμολίνου συμβεβλημένου, καθιέναι τὴν μήλην ἐς τὴν [9]σύριγγα, καὶ ἅμα τῆς ἀριστερῆς χειρὸς τὸν δάκτυλον τὸν λιχανὸν καθιέναι ἐς τὴν ἕδρην· ἐπὴν δὲ ψαύσῃ ἡ μήλη τοῦ δακτύλου, ἄγειν [10]ἔξω τῷ δακτύλῳ, ἀποκάμψας τῆς μήλης τὸ ἄκρον καὶ τὴν ἀρχὴν τὴν ἐν τῇ μήλῃ· καὶ τὴν μὲν μήλην πάλιν ἐξαιρέειν, τοῦ δὲ ὠμολίνου τὰς ἀρχὰς ἀφάψαι δὶς ἢ τρίς· καὶ τὸ λοιπὸν τοῦ ὠμολίνου ἐπιστρέψας, ἐπιδῆσαι πρὸς τὸ ἅμμα· ἔπειτα κελεύειν ἀπελθόντα διαπρήσσεσθαι τὰ [11]ἑωυτοῦ. Ὁκόσον δὴ, σηπομένης τῆς σύριγγος, χαλᾶται τοῦ ὠμολίνου, τοῦτο ἐπιτείνειν [12]καὶ ἐπιστρέφειν αἰεὶ καθ' ἑκάστην ἡμέρην· ἢν δέ σοι τὸ ὠμόλινον διασαπῇ πρόσθεν ἢ τὴν σύριγγα διαβρωθῆναι, πρὸς τὴν τρίχα προσάψας ἕτερον ὠμόλινον διεῖναι καὶ ἀφάψαι (ἡ γὰρ θρὶξ διὰ τοῦτο παραβάλλεται

[1] Στροβίλου GIJZ. – στροβίλον Ald. — [2] εἰσωσθῇ D. – ἐσωσθῇ Q'. – καὶ τῷ κάτω om. J. – Érotien et Galien, dans leurs Glossaires, expliquent γῇ σμηκτρίδι par *terre cimolienne*. — [3] στυπτηρίη DHI. — [4] οὖν pro οὗ FGZ, Ald. — [5] τῶν δὲ ἄρχων FGZ. – δὲ om. D. – ἄχρι οὗν FG. – οὖν pro οὗ Z, Ald. – οὗ om. D. – δοκέει Z. – συμπεφυκέναι D. – ξυμπεφυκέναι Q'. – ξυμπεφωνηκέναι vulg. — [6] ἑτ. θεραπείη om. J. — [7] σπηθαμιαῖον J. — [8] ποιησάμενον D. – κασσητερίνην GZ, Ald. – τετρημμένην GHIJZ. — [9] σύρριγγα I. — [10] ἔξω om. G, Ald. — [11] ἑαυτοῦ DH. – Post ἑωυτοῦ addit ἄλλη θεραπεία (θεραπείη Z, Lind.) vulg. – ἄλλη θεραπεία om. HIJK. — [12] τε καὶ J. – αἰεὶ I. – ἀεὶ vulg.

nectez une toile fine de lin avec le suc du grand tithymalle *euphorbia characias*, L.), enduisez-la de fleur de cuivre (*limaille de cuivre*) grillée et pilée, faites une tente égale en longueur à la fistule, passez un fil par un bout de la tente et puis par la tige d'ail ; couchez le patient sur le dos ; examinez avec un spéculum la partie corrodée du rectum, et faites passer la tige par là ; quand elle y est passée, saisissez-la et attirez-la à vous jusqu'à ce que la tente ait pénétré et ait occupé la fistule du haut jusqu'en bas. Cela fait, mettez dans le rectum un suppositoire en corne enduit de terre cimoliée, et laissez les choses à elles-mêmes. Quand le patient ira à la selle, il ôtera le suppositoire et le remettra, jusqu'à ce qu'on arrive au cinquième jour. Au sixième, tirez la tente hors de la chair et ôtez-la. Puis pilez de l'alun, remplissez-en le suppositoire, mettez-le dans le rectum et laissez-l'y jusqu'à ce que l'alun devienne humide. On oindra le rectum avec de la myrrhe jusqu'à ce que la cicatrisation paraisse accomplie.

4. (*Traitement de la fistule par la ligature.*) Autre traitement : prenez un fil de lin écru, aussi fin que possible, d'un empan de long, pliez-le en cinq et passez-y un crin de cheval ; puis ayez une sonde d'étain percée à une extrémité ; introduisez dans ce trou de la sonde le bout du fil plié en cinq ; faites entrer la sonde dans la fistule, et en même temps introduisez l'index de la main gauche dans le fondement ; quand la sonde touchera le doigt, vous l'amènerez avec ce doigt au dehors, courbant le bout de la sonde et le fil qui y est attaché. Alors vous retirerez la sonde, et vous ferez deux ou trois nœuds avec les bouts du fil ; ce qui reste du fil sera tordu et maintenu contre le nœud par un bandage. Cela fait, vous direz au patient d'aller à ses affaires. A mesure que, la fistule se corrodant, le fil se relâche, il faut le tirer et le tordre régulièrement chaque jour. Si le fil de lin se pourrit avant que la fistule soit coupée, attachez au crin un autre fil que vous nouerez ; le crin est, dans cette prévision, joint au fil, parce qu'il ne se pourrit pas. Quand la fistule est coupée, taillez une

τῷ ὠμολίνῳ ὅτι ἄσηπτός ἐστιν)· ἐπὴν δὲ διασαπῇ ἡ σύριγξ, τάμνεσθαι χρὴ σπόγγον [1] μαλακὸν ὡς λεπτότατον προστεθέντα· ἔπειτα ἐς μὲν τὴν σύριγγα ἄνθος χαλκοῦ ὀπτὸν συχνὸν τῇ μήλῃ ἐνθεῖναι, τὸν δὲ σπόγγον ἀλεῖψαι μέλιτι, καὶ ὑποβαλὼν [2] μέσον τῷ λιχανῷ δακτύλῳ τῆς ἀριστερῆς χειρὸς ὦσαι πρόσω, καὶ προσθεὶς ἕτερον [3] σπόγγον ἀναδῆσαι τὸν αὐτὸν τρόπον, ὅν περ καὶ ἐπὶ [4] τῇσιν αἱμοῤῥοΐσιν· τῇ δὲ αὔριον ἀπολύσας, [5] περινίψαι ὕδατι θερμῷ, καὶ σπόγγῳ τῷ δακτύλῳ τῆς ἀριστερῆς [6] χειρὸς πειρᾷν διακαθαίρειν τὴν σύριγγα, καὶ αὖθις πάλιν τὸ ἄνθος ἐπιδῆσαι· ταῦτα ποιέειν ἑπτὰ ἡμέρας, ἐν [7] ταύτῃσι γὰρ μάλιστα ὁ χιτὼν τῆς σύριγγος ἐκσήπεται· τὸ δὲ λοιπὸν, ἔστ' ἂν ὑγιανθῇ, τουτέῳ ἐπιδεῖν· κατὰ γὰρ τοῦτον τὸν τρόπον ὑπὸ τοῦ σπόγγου διαναγκαζομένη καὶ ἀναπτυσσομένη ἡ σύριγξ οὔτε πάλιν ξυμπέσοι ἂν, οὔτε τὸ μὲν αὐτῆς ὑγιανθείη ἂν, τὸ δὲ πάλιν ξυμπληρωθείη, ἀλλ' ἐν ἑωυτῇ πᾶσα ὑγιὴς ἔσται. Ἐν τῇ θεραπείῃ δὲ προσαιονᾷν ὕδατι πολλῷ θερμῷ, καὶ λιμοκτονέειν.

5. Ἢν δὲ μὴ [8] διαβεβρώκῃ ἡ σύριγξ, προμηλώσας μήλῃ, τέμνε ἕως ἂν διέλθῃ, καὶ ἐπίπασσε ἄνθος χαλκοῦ, καὶ [9] ἐᾷν ἐπὶ πέντε ἡμέρας· κατάχεε δὲ ὕδωρ θερμόν· καὶ ἐπάνω ὕδατι φυρῶν [10] ἄλφιτον κατάπασσε, καὶ φύλλα τεύτλων ἐπίδει· ἐπὴν [11] δὲ ἐκπέσῃ τὸ ἄνθος τοῦ χαλκοῦ, καὶ καθαρὸν ᾖ τὸ ἕλκος τῆς σύριγγος, ἰῶ ὥσπερ τὴν ἔμπροσθεν.

6. Ἢν δὲ ἐν χωρίῳ ᾖ, ὃ μὴ οἷόν τε [12] τάμνειν, βαθείη δὲ καὶ ἡ σύριγξ, ἄνθει χαλκοῦ καὶ σμύρνῃ καὶ [13] λίτρῳ οὔρῳ διεὶς, κλύζειν, καὶ ἐς τὸ στόμα τῆς σύριγγος [14] μολύβδιον ἐντιθέναι, ὅπως μὴ ξυμφύηται· κλύζειν δὲ πτεροῦ σύριγγα προσδήσας πρὸς κύστιν, καὶ

[1] Μαλθακὸν DFHIJK. – προστιθέντα K. — [2] μέσῳ vulg. – C'est μέσον qu'il faut lire, comme l'a bien vu Vidus Vidius; en effet cette phrase se trouve aussi dans le livre *Des Hémorrhoïdes*, et là il y a μέσον. Dalechamp lisait μέσῳ ἢ τῷ λιχανῷ : avec le doigt du milieu ou l'index; et de fait Aétius, dans le chapitre dernier du XIV[e] livre, nomme le doigt du milieu. D'autres, comme Cornarius, supprimaient μέσῳ. – λειχανῶ FGI, Ald. — [3] σπόγον (sic) K. – ὠυτὸν vulg. – ἑωυτὸν DFGHIJK. – Cette faute est fréquente; il faut lire αὐτόν. — [4] τοῖσιν J. — [5] περιθεῖναι vulg. – C'est, je crois, περινίψαι qu'il faut lire. — [6] χερὸς HK. — [7] ταύταισι DGHIJ. – ἐκσήπεται DFHIJK. – σήπεται vulg. — [8] διαβεβρώκει J. — [9] ἐὰν Z. – ἐᾷν om., sed ponitur post ἡμέραις, quod legitur pro ἡμέρας J. — [10] ἄλφιτα J. – ἄλφυτον Ald. — [11] δι' ἐκπέσῃ pro δὲ ἐκπέσῃ Ald. — [12] τάμνειν H. – τάμνειν om. vulg. — [13] νίτρω D. — [14] μολίβδιον I J. – ὅπερ μὴ ξυμφύεται Z.

éponge molle aussi mince que possible et appliquez-la ; puis introduisez dans la fistule, à l'aide de la sonde, beaucoup de fleur de cuivre grillée. Vous enduirez l'éponge de miel, vous en placerez le milieu sur l'index de la main gauche, et vous l'enfoncerez. Vous placerez une autre éponge et vous maintiendrez le tout avec le bandage dont on se sert pour les hémorrhoïdes (*voy.* § 2 ; p. 439). Le lendemain, levant l'appareil, vous laverez avec de l'eau chaude, vous essayerez à l'aide de l'éponge avec le doigt de la main gauche de mondifier la fistule, et derechef vous appliquerez la fleur de cuivre. Vous ferez cela pendant sept jours. Il faut environ sept ours pour corroder la tunique de la fistule. Du reste, usqu'à guérison, vous emploierez l'éponge. En effet, avec cet appareil, la fistule dilatée et étendue par l'éponge ne peut ni s'affaisser de nouveau, ni guérir en un point de son rajet, tandis que le reste se remplirait de nouveau, mais elle era saine tout entière en elle-même. Dans ce traitement il aut faire d'abondantes affusions d'eau chaude et mettre le nalade à la diète.

5. (*Fistule borgne. Traitement.*) Si la fistule n'a pas pénéré, introduisez la sonde et incisez jusqu'où elle est arrivée. aupoudrez de fleur de cuivre que vous laisserez pendant cinq ours. Vous ferez des affusions avec l'eau chaude; vous pér0irez de la farine d'orge avec de l'eau et vous l'appliquerez pardessus; vous maintiendrez des feuilles de bette avec un bandage. Quand la fleur de cuivre sera tombée et que la plaie de la fistule ura été mondifiée, vous traiterez comme dans le cas précédent.

6. (*Fistule située dans une région où l'on ne peut faire d'incision.*) Si elle est dans un lieu qu'il ne soit pas possible d'inciser, et que la fistule soit profonde, vous prendrez de la fleur e cuivre, de la myrrhe et du nitre, vous les délayerez dans e l'urine, et vous injecterez cette préparation, ayant soin de nettre une tige de plomb dans l'orifice de la fistule, afin qu'elle e se referme pas. L'injection se fait avec le tuyau d'une

καθεὶς ἐς τὴν σύριγγα, πρὸς τοῦτο διάγειν κλύζων. Ὑγιὴς δὲ οὐ γίνεται, ἢν μὴ τμηθῇ.

7. Ἢν ὁ ἀρχὸς φλεγμήνῃ, καὶ ὀδύνη [1]ἔχῃ καὶ πυρετὸς, καὶ ἐ ἄφοδον θαμινὰ καθίζῃ, καὶ μηδὲν ὑποχωρέῃ, καὶ ὑπὸ τοῦ φλέγματο δοκέῃ ἐξιέναι ἡ ἕδρη, καὶ ἐνίοτε στραγγουρίη [2]ἐπιλαμβάνῃ, τοῦτο τ νόσημα γίνεται, ὅταν φλέγμα ἐς τὸν ἀρχὸν καταστηρίξῃ ἐκ τοῦ σώματος. Ξυμφέρει δὲ τὰ θερμά· δύναται γὰρ [3]τάδε προσφερόμενα λεπτύνειν καὶ ἐκτήκειν τὸ φλέγμα, καὶ ἅμα τῷ [4]δριμεῖ τὸ ἁλμυρὸν ἐξυδατοῦν, ὥστε μὴ εἶναι τὸ καῦμα μηδὲ δῆξίν τινα ἐν τῷ ἐντέρῳ. [5]Θεραπεύειν οὖν χρὴ ὧδε· καθίζειν ἐς ὕδωρ θερμὸν, καὶ τρίψαντ τοῦ κόκκου τοῦ [6]κνιδίου ἑξήκοντα κόκκους διεῖναι ἐν οἴνου κοτύλῃ κα ἐλαίου ἡμικοτυλίῳ, χλιήνας, κλύσον. Ἄγει δὲ ταῦτα φλέγμα κα κόπρον. Ὅταν δὲ μὴ ἐν τῷ ὕδατι [7]καθίζῃ, ὠὰ ἑψήσας ἐν οἴνῳ μέλανι εὐώδει προστιθέναι πρὸς τὴν ἕδρην, ὑποπετάσας τι [8]κάτωθε θερμὸν, ἢ κύστιν ὕδατος θερμοῦ πλήσας, ἢ λίνου σπέρμα [9]πεφωσμένον ἀλέσας, τρίψας καὶ μίξας ἴσον ἄλητον ἐν οἴνῳ μέλανι καὶ εὐώδε καὶ ἐλαίῳ, καταπλάσσειν ὡς [10]θερμοτάτῳ· ἢ κριθὰς μίξας, ἢ στυπτηρίην αἰγυπτίην [11]τετριμμένην, καταπλάσσειν τε καὶ πυριῆν· ἔπειτ πλάσας βάλανον μακρὴν, καὶ χλιαίνων πρὸς πυρὸς, τοῖσι δακτύλοι προσπλάσσειν· ἔπειτα ἀκροχλίηρον ποιέων, ἐντιθέναι ἐς τὴν ἕδρην· τ ἔξωθεν δὲ κηρωτῇ [12]περιαλεῖψαι, καὶ [13]καταπλάσσειν σκορόδοισ ἑφθοῖσιν ἐν οἴνῳ μέλανι κεχρημένῳ. Ἐπὴν δὲ ἐξαιρέῃς, ἐς ὕδωρ θερμὸν ἐφίζειν, καὶ συμμίξας χυλὸν στρύχνου καὶ χηνὸς καὶ ὑὸς στέα καὶ [14]χρυσοκόλλαν καὶ ῥητίνην καὶ [15]κηρὸν λευκὸν, ἔπειτα διατήξας τῷ αὐτῷ καὶ ξυμμίξας, τούτοισιν ἐγχρίειν, καὶ ἕως ἂν [16]φλεγμαίν

[1] Ἔχει GZ, Ald., Lind. — [2] λαμβάνῃ D. — [3] ταῦτα J. — [4] δριμὺ DFHIJK. ἁλμηρὸν K. — [5] Ante θεραπεύειν addit θεραπείη H. — [6] κνηδίου G, Ald. - [7] καθίζῃ DFHIJK. - καθίζει vulg. — [8] κάτω J. — [9] πεφωσμένου J. — [10] θερμ τατον DHIKQ'. — [11] τετριμμένην, ἔπειτα πλάσαι (πλάσας D) βάλανον μακρ καὶ χλιαίνων πρὸς πυρὸς (πῦρ H), καταπλάσσειν τε καὶ πυριῆν, καὶ τοῖ δακτύλοισι vulg. - Cette phrase ainsi arrangée me paraît inintelligible. Q font dans ce texte καταπλάσσειν τε καὶ πυριῆν? Je crois ces mots déplac et je les transporte un peu plus haut, après τετριμμένην. Quant au καὶ q est dans vulg. devant τοῖσι, je le supprime, ce καὶ ayant pu s'introdui facilement, du moment que les mots que je suppose transposés occupaie la place qu'ils ont dans vulg. — [12] περικαλύψαι DQ'. — [13] καταπλάσαι J. [14] χρυσόκολλαν F. — [15] λευκὸν κηρὸν J. — [16] φλεγμήνῃ H. - θερμαίνῃ J.

plume qu'on attache à une vessie et qu'on introduit dans la fistule. Le patient ne guérit pas à moins d'une incision.

7. (*Inflammation du rectum.*) Si le rectum s'enflamme, il y a douleur, fièvre et envie fréquente d'aller à la selle sans cependant rien rendre, il semble, par l'inflammation, que le fondement sorte au dehors; et parfois il survient de la strangurie. Cette maladie naît quand du phlegme, venant du corps, se fixe sur le rectum. Les choses chaudes conviennent; car, appliquées, elles peuvent atténuer, fondre le phlegme et faire sortir en eau l'âcre en même temps que le salé, de sorte qu'il n'y ait plus dans l'intestin ni de l'ardeur, ni une sorte de mordication. On traitera donc ainsi cette maladie : on mettra le patient dans un bain de siége chaud. On écrasera soixante baies de l'écarlate de Gnide, on les délayera dans une cotyle (0 lit.,27) de vin et une demi-cotyle d'huile, on fera chauffer ce mélange, qui sera pris en lavement. Il évacue le phlegme et les matières stercorales. Quand le malade n'est pas dans le bain, prenez des œufs cuits dans un vin noir qui a du bouquet et appliquez-les sur le fondement, étendant par dessous quelque chose de chaud, ou remplissant une vessie d'eau chaude, ou appliquant aussi chaud que possible un cataplasme de graine de lin grillée, moulue, pilée et mélangée avec partie égale de farine de blé dans de l'huile et du vin noir ayant du bouquet, ou bien, mélangeant soit de l'orge, soit de l'alun d'Égypte pilé, appliquez-les en cataplasme, et faites des fomentations. Puis faites un suppositoire long, et, le chauffant au feu, donnez-lui la forme avec les doigts; alors introduisez-le bien chaud dans le fondement; on oindra les parties extérieures avec du cérat, et on appliquera un cataplasme fait d'ail cuit dans un vin noir coupé d'eau. Après avoir retiré le suppositoire, vous ferez prendre un bain de siége chaud; et, mélangeant du suc de strychnos (*solanum nigrum*, L.), de la graisse d'oie et de porc, de la chrysocolle, de la résine et de la cire blanche, puis faisant fondre le tout ensemble et mélangeant, on oindra la partie avec cette pré-

καταπλάσσειν τοῖσι σκορόδοισι θερμοῖσι. Καὶ ἢν μὲν πρὸς ταῦτα ἀπαλλάσσηται τῆς ὀδύνης, ἀρκείτω· ἢν δὲ μὴ, πίσαι τὸ [1]μηκώνιον τὸ λευκόν· [2]ἢν δὲ μὴ, ἄλλο ὅ τι φλέγμα καθαίρει· διαιτᾷν δὲ, ἕως ἂν [3]φλεγμαίνῃ, ῥυφήμασι κούφοισιν.

8. Ἡ δὲ [4]στραγγουρίη ἐπιπίπτει ἐκ τῶνδε· θερμαινομένη ἡ κύστις ἐκ τοῦ ἀρχοῦ προσάγεται τῇ θερμότητι φλέγμα· ὑπὸ δὲ τοῦ φλέγματος στραγγουρίη γίνεται. Ἢν μὲν οὖν ἅμα τῇ νούσῳ παύηται, φιλέει γὰρ ὡς τὰ πολλὰ [5]οὕτω γίνεσθαι· ἢν δὲ μὴ, δίδου τῶν φαρμάκων τῶν στραγγουρικῶν.

9. Ἢν δὲ ὁ ἀρχὸς ἐκπίπτῃ, [6]ἀνώσας σπόγγῳ μαλθακῷ, καὶ καταχρίσας [7]χοχλίῃ, τῶν χειρῶν δήσας, ἐκκρέμασον ὀλίγον χρόνον, καὶ εἴσεισιν. Ἢν δὲ μεῖζον ἐκπέσῃ καὶ [8]μὴ μένῃ ἔνδον, διαζώσας ἐν τῇσι λαγόσι, καὶ ὑφεὶς ὄπισθεν [9]ἐκ τοῦ διαζώματος [10]ταινίην, ὤσας ἔσω τὸν ἀρχὸν, προσθεῖναι σπόγγον μαλθακὸν βρέξας ὕδατι θερμῷ, ἐνεψήσας λωτοῦ πρίσματα· καταχέαι δὲ καὶ κατὰ τοῦ ἀρχοῦ [11]ἀπ' αὐτοῦ τοῦ ὕδατος, τὸν δὲ σπόγγον ἐκπιέσαι· ἔπειτα ὑποτείνας τὴν ταινίην διὰ μέσων τῶν σκελέων, ἀναδῆσαι [12]περὶ τὸν ὀμφαλόν. Ὅταν δὲ θέλῃ [13]ἀφοδεύειν, ἐπὶ λασάνοισιν ὡς στενοτάτοισιν [14]ἀφοδευέτω· ἢν δὲ παιδίον ᾖ, ἐπὶ γυναικὸς τῶν ποδῶν, πρὸς τὰ γούνατα προσκλιθείς. Ὅταν [15]δὲ ἀφοδεύῃ, τὰ σκέλεα ἐκτεινάτω· οὕτω γὰρ ἂν ἥκιστα [16]ἐκπίπτοι ἡ ἕδρη. Ἢν δὲ ὑγραίνηται ὁ ἀρχὸς, καὶ ἰχὼρ ἀποῤῥέῃ, περινίψαι [17]τρυγὶ κεκαυμένῃ καὶ ὕδατι ἀπὸ μυρσίνης, καὶ ἀδίαντον [18]ξηρήνας καὶ κόψας, διασήσας, κατάπασσε. Ἢν δὲ αἱμοῤῥοῇ, περινίψας τοῖσιν αὐτοῖσι, χαλκῖτιν καὶ πρίσμα κυπαρίσσου ἢ κέδρου

[1] Μηκώνειον DJ. — [2] εἰ DFGHIJKZ. – μηδὲ pro μὴ H. – ὅτι JK. — [3] φλεγμαίνῃ DFIJK. – φλεγμήνῃ vulg. – ῥυφήμασι K. – τρυφήμασι DFGHI, Ald. – τροφήμασι vulg. – διαιτήμασι J. — [4] τραγγουρίη (sic) I. — [5] οὕτω DJ. – οὕτως vulg. – εἰ J. — [6] ἀνῶσαν DFGIJKZ. – ἀνωθεῖν H. — [7] χοχλίῃ HJ. – κογχλίῃ vulg. – χοχλίην D. — [8] μὴ om. vulg. – La négation est nécessaire, et tous les traducteurs l'ont supposée. Μὴ a pu très-bien être omis par les copistes, le mot suivant commençant par με. — [9] ἐκ τοῦ διαζώματος DFHIJKQ'. – ἐκ τοῦ διαζ. om. vulg. — [10] ταινίην DFGHIJK. – ταινίῃ vulg. — [11] ὑπ' D. — [12] παρὰ DHJK. — [13] ἀμφοδεύειν FGI, Ald. – ἐν λασάνοισιν Q'. – ἐν λασσάνοισιν D. – ἐν πλασάνοισιν K. – ἐν πλασσάνοισιν HJ. – ἐπλασσάνοισιν (sic) FGIZ. – ἐπὶ σανίσιν vulg. – Il faut lire ἐπὶ λασάνοισιν. On remarquera que vulg., tout en recevant σανίσιν, avait gardé στενοτάτοισιν au neutre comme une trace de l'ancienne et bonne leçon. — [14] ἀμφοδευέτω FGHIZ, Ald. — [15] δὲ om. D. — [16] ἐκπίπτῃ D. — [17] τρύγει FIJ. — [18] ξηράνας D.

paration. Tant que durera l'inflammation, on appliquera de l'ail cuit chaud. Si ces moyens enlèvent la douleur, cela suffit ; sinon, faites prendre le meconium blanc (*euphorbia peplis*, L.) ou toute autre substance qui évacue le phlegme. Tant qu'il y aura inflammation, le malade sera aux potages légers (*d'orge*).

8. (*Strangurie, suite de l'inflammation du rectum.*) La strangurie vient de cette façon : la vessie, échauffée par le rectum, attire le phlegme, et le phlegme produit la strangurie. Si elle cesse avec la maladie du rectum (et c'est ce qui arrive le plus ordinairement), cela est bien ; sinon, donnez les remèdes pour la strangurie.

79. [2]Ἑτέρα πλησμονή· πάσχουσι δέ τινες καὶ τοιάδε· διαχωρέει τὸ σιτίον αὐτέοισιν ὑγρὸν ἄπεπτον οἷον ἐκ λειεντερίης, καὶ πόνον οὐδένα παρέχει· πάσχουσι δὲ [3]τοῦτο μάλιστα αἱ κοιλίαι ὅσαι ὑγραὶ καὶ ψυχραί εἰσιν· διὰ μὲν τὴν ψυχρότητα οὐ ξυνεψεῖ, διὰ δὲ [4]τὴν ὑγρότητα διαχωρέει· τὸ οὖν σῶμα τρύχεται τροφὴν οὐ λαμβάνον τὴν προσήκουσαν, αἵ τε κοιλίαι διαφθείρονται, ἐς νούσους τε ἐμπίπτουσιν. Ἀλλὰ χρὴ προμηθέεσθαι· ξυμφέρει δὲ τούτῳ τῶν μὲν [5]σιτίων ἀφελεῖν τὸ τρίτον μέρος· ἔστω δὲ τὰ σιτία ἄρτοι ἄζυμοι συγκομιστοὶ, [6]κλιβανῖται, ἢ ἐγκρυφίαι, θερμοὶ ἐς οἶνον αὐστηρὸν ἐμβαπτόμενοι, καὶ τῶν ἰχθύων τὰ νωτιαῖα καὶ οὐραῖα, τὰ δὲ κεφάλαια καὶ ὑπογάστρια ἐᾶν ὡς ὑγρότερα· καὶ τοὺς μὲν ἑφθοὺς ἐν ἅλμῃ ἐσθίειν, τοὺς δὲ ὀπτοὺς ἐν ὄξει· [7]καὶ τοῖσι κρέασι τεταριχευμένοισιν ἐν ἁλσὶ καὶ ὄξει· καὶ τοῖσι κυνείοισιν ὀπτοῖσι· [8]καὶ φάσσης καὶ τῶν λοιπῶν τοιούτων ὀρνίθων, ὀπτοῖσι καὶ ἑφθοῖσι· λαχάνοισι δὲ ὡς ἥκιστα· οἴνῳ [9]δὲ μέλανι ἀκρητεστέρῳ αὐστηρῷ· καὶ τοῖσι περιπάτοισιν ἀπό τε τοῦ δείπνου πολλοῖσι [10]καὶ τοῖσιν ὀρθρίοισι, [11]καὶ ἐκ τοῦ περιπάτου κοιμᾶσθαι· δρόμοισι δὲ καμπτοῖσιν ἐκ προσαγωγῆς· ἔστω δὲ καὶ τρίψις πολλή· καὶ πάλη [12]βραχείη καὶ ἐν τῷ ἐλαίῳ καὶ ἐν τῇ κόνει, ὅκως διαθερμαινομένη ἡ σὰρξ ἀποξηραίνηταί τε καὶ τὸ ὑγρὸν ἐκ τῆς

[1] Τὸ σιτίον τὸ ἀφαιρεθὲν ἅπαν EHIK. – ἀπὸ τοῦ σίτου τὸ ἀφαιρεθὲν ἅπαν θ. – δεῖται θ. – δέχεται pro δέεται G. — [2] ἑτ. πλ. om. EHIK, Lind. – D'après Mack ces mots manquent dans θ; ma collation n'en dit rien. – πάσχουσι δέ τινες καὶ τοιαῦτα· διαχωρέει αὐτοῖς τὸ σιτίον ὑγρὸν, ἄπεπτον, οὐ διὰ νόσημα, οἷον λειεντερίαν, οὐδὲ πόνον οὐδένα παρέχει Gal. in cit. Comm. ad Aph. VI, 1. – Mack dit que θ a τοιαῦτα; ma collation porte τοιάδε (sic). – αὐτέοισι (αὐτοῖσι θ) τὸ σιτίον EHIJKθ. – οὐ διὰ νόσημα οἷον λιεντερίην pro οἷον ἐκ λειεντερίης θ. – ἐκ om., restit. al. manu H. – λειεντερίης EGHK, Lind. – λιεντερίης vulg. – οὐδὲ pro καὶ θ. — [3] μάλιστα τοῦτο EHIK. – ψυχραὶ καὶ ὑγραὶ θ. – μὲν οὖν θ. – μὲν [γὰρ] Lind. – τὴν om. EHθ. – συνεψεῖ θ. – ξυνέψει Lind. – ξυνεψοῖ vulg. – συνεψοῖ Mack. — [4] τὴν om. EHJKθ, Ald. – τρύχεται θ, Lind., Mack. – τρύχει vulg. – νούσους EHθ, Lind. – νόσους vulg. — [5] σίτων θ. – σῖτα θ. – συγκομιστοὶ ἄζυμοι θ. — [6] κλιβανίται G, Ald., Frob., Zwing., Lind., Mack. – κλιβανειται (sic) θ. – ἐγκρυφίας E. – εἰς E. – ἐμβάπτων, al. manu ἐμβαπτόμενοι H. – ἐμβάπτοντα θ. – κεφάλεα K. – ἐᾶν ὡς om. Hθ. – ἐσθίειν om. (H, restit. al. manu) θ. — [7] καὶ.... ὄξει om. K. – αλει (sic)

missement on accroîtra progressivement l'aliment pendant quatre jours. Au bout de dix jours à compter du vomissement, on mangera tout l'aliment retranché ; on se livrera aux exercices et aux promenades, et l'on recouvrera la santé. Une telle nature a besoin de plus d'exercice que d'aliment.

79. (*Quatrième cas où les exercices l'emportent sur les aliments. Il est caractérisé par des selles où les aliments passent liquides et non digérés.*) Autre plénitude : quelques-uns offrent ces symptômes : l'aliment passe humide et non digéré comme dans la lienterie, sans causer aucune souffrance. Ce sont surtout les ventres humides et froids qui éprouvent cet accident; en effet, étant froids, ils ne digèrent pas ; étant humides, ils évacuent. Le corps pâtit, ne prenant pas la nourriture qu'il lui faut; le ventre se corrompt, et des maladies se déclarent. Mais il faut se précautionner. On retranchera le tiers des aliments. Les aliments seront des pains azymes, de farine non blutée, de tourtière ou cuits sous la cendre, chauds et trempés dans du vin astringent, les parties du dos et de la queue des poissons ; on s'abstiendra des têtes et des ventres comme étant plus humides. On mangera les uns bouillis dans la saumure, les autres grillés et dans le vinaigre. On usera de viandes conservées dans le sel et dans le vinaigre ; de viande de chien rôtie ; de pigeons et d'oiseaux de cette espèce rôtis et bouillis ; d'herbages, le moins qu'il se pourra ; d'un vin noir, astringent et pur. On se promènera et après le dîner et le matin. On dormira après la promenade. On usera progressivement des courses recourbées. On se frottera aussi beaucoup. On luttera,

pro ἁλσὶ θ. – χυνίοισιν HIJ, Ald., Frob., Zwing. – κενίοισιν (sic) G. – ἑφθοῖσι pro ὀπτοῖσι θ. — [8] καὶ ἀπὸ vulg. – ἀπὸ om. Hθ, Lind. – φάσσης θ. – φάττης vulg. – λοιπῶν om. (H, restit. al. manu post τοιούτων) θ. – τοιούτων λοιπῶν EIK. – D'après Mack θ a τοιουτέων ; ma collation a τοιούτων. – ἑφθοῖσι καὶ ὀπτοῖσι EHθ. — [9] δὲ θ. – δὲ om. vulg. – ἀχρητεστέρω αὐστηρῷ θ. – ἀχρ. αὐστ. om. vulg. – ἀπὸ δὲ (δὲ om. Lind.) τοῦ vulg. – ἀπό τε τοῦ θ. – Post δείπνου addunt κοιμᾶσθαι EHI, Zwing. in marg. – πολλοῖσι θ. – πολλ. om. vulg. — [10] καὶ.... περιπάτου om. K. — [11] καὶ θ, Mack. – καὶ om. vulg. (ἐκ τοῦ περιπάτου δὲ Lind.). – κοιμάσθω θ. — [12] βραχείῃ θ. – βραδείῃ vulg. – ὅπως H. – κοιλίας H.

κοιλίης ἀντισπᾷ· [1]ἀλείφεσθαι δὲ ξυμφέρει μᾶλλον ἢ λούεσθαι· ἀνάριστος δὲ διαγέτω· ὅταν δὲ γένωνται ἡμέραι ἑπτὰ, προσθέσθω τὸ ἥμισυ τοῦ [2]σίτου τοῦ ἀφαιρεθέντος, καὶ ἔμετον ποιησάσθω, καὶ προσαγέτω ἐς τέσσαρας ἡμέρας τὸν σῖτον· τῇ δὲ ἄλλῃ ἑβδόμῃ κομισάσθω ἅπαν [3]τὸ σιτίον· καὶ ἔμετον πάλιν ποιησάμενος προσαγέτω κατὰ τωὐτό.

80. Ἄλλοισι δέ τισι [4]γίνεται τοιάδε· τὸ διαχώρημα ἄσηπτον διαχωρέει, καὶ τὸ σῶμα τρύχεται τῶν [5]σίτων οὐκ ἐπαυρισκόμενον· οὗτοι δὲ προϊόντος τοῦ χρόνου ἐμπίπτουσιν ἐς τὰς νούσους· τούτοισιν αἱ κοιλίαι ψυχραὶ καὶ ξηραί· ὁκόταν [6]γοῦν μήτε σίτοισι προσήκουσι χρέωνται μήτε γυμνασίοισι, πάσχουσι ταῦτα. Ξυμφέρει δὲ τῷ τοιούτῳ ἄρτοισί τε καθαροῖσιν ἰπνίτῃσι χρέεσθαι, καὶ τοῖσιν ἰχθύσιν ἑφθοῖσιν [7]ἐν ὑποτρίμμασι, καὶ κρέασιν ἑφθοῖσιν ὑείοισι, [8]καὶ τοῖσιν ἀκροκωλίοισι διέφθοισι, καὶ τοῖσι [9]πίοσιν ὀπτοῖσι, καὶ τῶν δριμέων καὶ τῶν ἁλυκῶν τοῖσιν ὑγραίνουσι, καὶ τοῖσιν ἁλμυροῖσιν· οἴνοισι δὲ μέλασι μαλακοῖσι· καὶ τῶν βοτρύων καὶ τῶν σύκων [10]ἐμφορεῖσθαι ἔν γε τοῖσι σιτίοισι· χρὴ δὲ καὶ ἐναριστῆν μικρόν· τοῖσι δὲ γυμνασίοισι πλείοσι [11]χρέεσθαι, δρόμοισι καμπτοῖσιν ἐκ προσαγωγῆς, ὑστάτοισι [12]δὲ τροχοῖσι, καὶ μετὰ τὸν δρόμον πάλῃ σὺν ἐλαίῳ· περιπάτοισι δὲ μὴ πολλοῖσιν ἀπὸ τῶν γυμνασίων· [13]ἀπὸ δείπνου δὲ ὅσον ἐξαναστῆναι· ὄρθρου δὲ πλείοσι περιπάτοισι χρῆσθαι· λουέσθω δὲ θερμῷ· χρεέσθω δὲ [14]καὶ χρίσμασιν· ὕπνον [15]δὲ

[1] Ἀλίφεσθαι θ. – συμφ. Κθ. — [2] σιτίου Mack. – τοῦ (τοῦ om. H) ἀφαιρεθέντος καὶ ἔμετον ποιησάσθω τὸ ἥμισυ τοῦ σίτου Hθ. – τοῦ ἀφ. καὶ ἔ. ποι. om. vulg. – J'ai pris la leçon des deux mss. H et θ, laissant de côté τὸ ἥμισυ τοῦ σίτου, qui est une répétition due à l'inadvertance des copistes. – προσαγέτω (H, al. manu προσαγέσθω) θ. – προσαγέσθω vulg. – ἐς Εθ, Lind. – εἰς vulg. – Ante τέσσ. addunt τὰς E (H, al. manu) Q'. – τέσσερας θ. – τὸ σιτίον θ. – τὸ σίτον K. – Post σῖτον addit καὶ ἐμεέτω P', Mack. — [3] τὸ σιτίον om. θ. – προσαγέτω (H, al. manu προσαγέσθω) θ. – προσαγέσθω vulg. – ταῦτα vulg. – ταὐτὰ IK. – ταὐτὸ Lind. – τωὐτὸ EHQ'θ, Zwing. in marg. — [4] γίγνεται HIJK. — [5] σιτίων K. – ἐπαυρίσκεται sine οὐκ θ. – τὰς om. θ. – νούσους EHIθ, Lind., Mack. – νόσους vulg. – τουτέοισιν Lind., Mack. — [6] οὖν EHθ. – σιτίοισι EK, Lind., Mack. – σύμφέρει δὴ τούτω ἄρτοισι καθαροῖσιν ιπνιταισι (sic) χρῆσθαι θ. – τὲ om. GIJK. – ἰπνίτοισι vulg. – ἰπνίτῃσι HIK. – Mack dit que θ a δὲ, et non pas δή. — [7] ἐν (ξὺν Lind.; σὺν K', Mack) θ. – ἐν om. vulg. – ὑοῖσι GHIJ. — [8] καὶ τοῖσι μὲν ἄκροις διεφθοῖς, τοῖσι δὲ θ. — [9] πίοσιν θ. – πλείστοισιν vulg. – ὀπτῇσι I. – ἑφθοῖσι pro ὀπτοῖσι θ. – γλυκέων pro ἁλυκῶν Zwing. in marg., Lind., Mack. – Mack dit que θ a γλυκέων; ma collation n'en dit

mais peu de temps, à l'huile et à la poussière, afin que la chair échauffée se dessèche et attire par révulsion l'humide hors du ventre. Il convient de s'oindre plus que de se baigner. On supprimera le déjeuner. Sept jours s'étant écoulés, on reprendra la moitié de l'aliment retranché, on vomira, après quoi on augmentera progressivement la nourriture pendant quatre jours. Au bout d'un autre intervalle de sept jours on reprendra tout l'aliment retranché, on vomira derechef, et l'on ira par progression de la même manière.

80. (*Cinquième cas où les exercices l'emportent sur les aliments. Il est caractérisé par des selles qui ne sont pas corrompues.*) Chez quelques-uns surviennent ces symptômes-ci : les selles passent non corrompues, le corps pâtit ne tirant pas profit des aliments. Au bout d'un certain temps ces gens deviennent malades. Le ventre est, chez eux, froid et sec ; quand donc ils n'usent ni des aliments ni des exercices convenables, ils sont pris de ces accidents. Dans ce cas on usera de pains de farine blutée et cuits au four, de poissons grillés à la sauce, de viandes de porc bouillies, d'extrémités de porc bien bouillies, de viandes grasses rôties, des substances humectantes parmi celles qui sont âcres et salées, et de saumures. On boira des vins noirs mous. On se gorgera de raisins et de figues, du moins dans le repas. On fera un petit déjeuner. Exercices multipliés, courses recourbées par progression ; en dernier lieu courses au cerceau; après les courses, lutte huilée ; promenades peu considérables, après les exercices ; un tour de pro-

rien. — [10] ἐμφ. om. (H, restit. al. manu) θ. - ἔν τε (τέ om. θ; γε E, H al. manu, IJK) vulg. - ἀριστῆν E. - ἐναρισίην (sic) θ. — [11] χρῆσθαι θ. - δρόμοις EH. - Ante δρ. addunt καὶ Lind., Mack. — [12] τε pro δὲ θ. - Mack dit que θ a δέ. - πάλη τε (δὲ θ) μετὰ τὸν δρόμον ἐν τῶ (τῶ om. θ) ἐλαίω EHθ. - πουλλοῖσιν G, Ald., Zwing. — [13] ἀπὸ δὲ ὕπνου (δείπνου Zwing. in marg., Lind.) vulg. - ἀπὸ δείπνου δ' E (H, δὲ) θ, Mack. - ὄρθρου EHθ. - ὄρθροισι vulg. - πλεῖον FGIJK. - περιπάτοισι χρῆσθαι om. FGIJK. - θερμῶ Hθ, Mack. - θερμὸν vulg. — [14] Ante καὶ addit πόνοισι vulg. - πόνοισι om. θ, Mack. - χρίμασιν θ. — [15] τὲ pro δὲ EHθ, Mack. - μάλα κινεέτω vulg. - μαλακινεέτω Ald., Zwing. - μαλακευνείτω θ, Mack. - μαλακευνεέτω Zwing. in marg., Lind. - ἀφροδισιᾶσαι Ald. - ἀφροδιασαι (sic) θ. - σιτίων K.

πλείονα διδότω καὶ μαλακευνεέτω· χρὴ δὲ καὶ ἀφροδισιάσαι τι· τῶν δὲ σίτων ἀφελεῖν[1] τὸ τέταρτον μέρος ἐν ἡμέρῃσι δέκα, καὶ προσάγειν αὐτὸν πρὸς τὰ σιτία.

81. Εἰσὶ δέ τινες [2]οἷσι τὸ διαχώρημα ὑγρὸν διαχωρέει καὶ σεσηπὸς, τοῖσιν ἄλλως ὑγιαίνουσι καὶ γυμναζομένοισι, καὶ πόνον οὐ παρέχει· οἱ δέ τινες ἀποκλείονται τῶν προσηκόντων· προϊόντος δὲ τοῦ χρόνου, [3]τὰς σάρκας ἐπισπᾶται τῇ θερμασίῃ ἡ κοιλίη, καὶ πόνον δὴ παρέχει, καὶ τῶν σιτίων ἀποκλείονται, ἥ τε κοιλίη ἐξελκοῦται, στῆσαι δὲ χαλεπὸν ἤδη γίνεται αὐτήν. Ἀλλὰ χρὴ πρότερον προμηθέεσθαι γνόντα τὴν κοιλίην θερμὴν καὶ ὑγρὴν παρὰ τὸ προσῆκον, πόνων τε ὑπερβολὴν [4]ἀξυμφόρων γεγενημένην. Τῇ οὖν διαίτῃ χρὴ ψῦξαι καὶ ξηρῆναι, καὶ πρῶτον [5]μὲν τὰ γυμνάσια τὰ ἡμίσεα ἀφελεῖν, καὶ τῶν σιτίων τὸ τρίτον μέρος· χρήσθω δὲ μάζῃ προφυρητῇ τριπτῇ, καὶ τοῖσιν ἰχθύσι τοῖσι ξηροτάτοισιν ἑφθοῖσι [6]καὶ μήτε λιπαροῖσι μήτε ἁλμυροῖσι· χρήσθω δὲ [7]καὶ ὀπτοῖσι· κρέασι [8]δὲ τοῖσιν ὀρνιθίοισιν, ἑφθοῖσι μὲν φάσσης, περιστερῆς, [9]ὀπτοῖσι δὲ περδίκων καὶ ἀλεκτορίδων ἀνηδύντοισι, [10]λαγώοισι δὲ ἑφθοῖσιν ἐν ὕδατι, καὶ τοῖσιν ἀγρίοισιν ἅπασι· λαχάνοισι [11]δὲ ὅσα ψυκτικὰ, οἷον τοῖσι [12]τεύτλοισι καθεφθοισιν ὀξηροῖσι· οἴνῳ δὲ μέλανι αὐστηρῷ· γυμνασίοισι [13]δὲ τροχοῖσιν ὀξέσιν, ἀλλὰ τρίψις μὴ πολλὴ προσέστω, ἀλλ' ὀλίγη, μηδὲ πάλη· ἀκροχείρησις καὶ χειρονομίη καὶ κωρυκο-

[1] Τὸ τρίτον μέρος ἐν ἡμέρῃσι δὲ δέκα δύο προσάγειν θ. — [2] οἷς θ. – καὶ σεσηπὸς διαχωρέει EHθ. – τοῖσι δὲ (δ' EH) ἄλλως vulg. – τοῖσιν ἄλλως θ. – καὶ πόνον οὐ παρέχει EHθ. – οὐδὲ πόνον παρέχει sine καὶ vulg. — [3] καὶ τὰς θ. – τῆς σαρκὸς K. – τὴν θερμασίην (H, al. manu τῇ θερμασίῃ) K. – πόνον τε sine καὶ et δὴ EHθ. – τε pro δὴ Q', Lind. – τῶν τε σίτων θ. — [4] ἀσυμφόρων θ. – ἐγγενομένων EQ'θ, Zwing. in marg., Lind. – γεγενημένων FGIJK. – χρὴ om., restit. al. manu H. – δεῖ θ. – ξηρῆναι EHKθ, Mack. – ξηρᾶναι vulg. — [5] Post μὲν addunt χρὴ EHθ. – τὰ ἡμίσεια (ἡμίσεα Mack) γυμνάσια vulg. – τὰ γυμνάσια τὰ ἡμίσεα θ. – τῶν τε σίτων θ. – χρῆσθαι δὲ μάζησι πορφυρητησι (sic) τριπτησι (sic) θ. – χρεέσθω Lind., Mack. – προφυρατῇ HI. – πορφυρῇ τῇ E. – προφυρᾷ τῇ J. – τρυπτῇ Zwing. in marg. — [6] καὶ om. EHθ, Lind., Mack. – χρεέσθω Lind. — [7] καὶ EGHIθ, Ald., Mack. – καὶ om. vulg. — [8] δὲ θ. – δὲ om. vulg. – Mack dit que θ n'a pas ce δὲ, qui importe cependant au sens. – ὀρνιθείοισιν EIK. – φάσσης HIJKθ. – φάττης vulg. – D'après Mack θ a φάττης. – [καὶ] περιστερῆς Lind. — [9] ὀπτοῖσι δὲ om. EHθ. – περδίκων δὲ (H, al. manu, erat prius τε) θ. – ἀλεκτορίδων θ. – ἀλεκτρυόνων vulg. – Post ἀλ. addunt ὀπτοῖσιν EH. – ηδυντοισι (sic) θ. — [10] λαγίοισιν sine δὲ θ. – ἅπασι om. (H, restit. al. manu) θ. — [11] δὲ om. (H, restit. al. manu) θ. – Mack dit que θ a

menade seulement après le dîner ; le matin, promenades plus considérables ; bains chauds. On fera aussi des onctions. On dormira longtemps et sur un lit mollet. Il faut encore user un peu du coït. Des aliments, on retranchera le quart en dix jours, après quoi on les augmentera progressivement.

81. (*Sixième cas où les exercices l'emportent sur les aliments. Il est caractérisé par des selles liquides et corrompues.*) Il est des gens qui ont des selles liquides et corrompues ; du reste ils sont bien portants, s'exercent et n'éprouvent aucune souffrance. D'autres au contraire sont dans l'impossibilité de vaquer à leurs affaires. Mais, au bout d'un certain temps, le ventre attire les chairs par la chaleur ; déjà de la souffrance se fait sentir, l'appétit se perd, le ventre s'ulcère, et dès lors il est difficile d'arrêter le flux. Il faut se précautionner, sachant que le ventre est chaud et humide plus qu'il ne convient, et qu'il y a eu excès d'exercices nuisibles. Donc, par le régime, on refroidira et séchera. D'abord on retranchera la moitié des exercices et le tiers des aliments. On mangera de la polenta pétrie broyée, et les poissons les plus secs bouillis ; ils ne seront ni gras ni dans la saumure ; on en mangera aussi de grillés. Parmi les oiseaux, on mangera bouillis les ramiers et les pigeons ; rôties, les perdrix et les poules, sans épices ; bouillis dans l'eau, les lièvres et tous les animaux sauvages. Parmi les herbages, on mangera ceux qui sont rafraîchissants, par exemple la bette bien bouillie et vinaigrée. Vin noir astringent. Exercices gymnastiques ; des courses au cerceau, rapides ; des frictions, mais peu, non beaucoup. Point de lutte. La lutte au poignet, la chironomie, la corycomachie, et la lutte sur la poussière (*voy. p.* 580, *notes* 11 et 12) convien-

δέ ; ce qui change notablement le sens ; car, sans δὲ, comme porte ma collation, la phrase signifie : usez, parmi les légumes sauvages, de ceux qui sont rafraîchissants. – οἷον om. (H, restit. al. manu) θ. — [12] σεύτλοισι EH. – ὀξυροῖσι EGHIJK, Ald., Frob., Zwing., Lind., Mack. — [13] τε pro δὲ θ. – ἀλλὰ om. θ. – τρίψις δὲ sine ἀλλὰ EH, Lind. – μὴ om., restit. al. manu H. – προσαγέσθω vulg. – προσέστω θ. – ἀλλ' ὀλίγη om. FGIJK. – ἀχροχειρισμὸς δὲ θ. – ἐπιτηδείη θ.

μαχίη καὶ ἀλίνδησις ἐπιτήδεια, ἀλλὰ μὴ [1]πολλή· τοῖσι δὲ περιπάτοισι καὶ ἀπὸ τοῦ γυμνασίου χρήσθω πρὸς τὸν πόνον ἱκανοῖσι, καὶ ἀπὸ [2]τοῦ δείπνου πρὸς τὰ σιτία πλείστοισι, καὶ πρωῒ ξυμμέτρως πρὸς τὴν ἕξιν· λουέσθω δὲ χλιερῷ καὶ ἀτρεμεέτω· οὕτω δὲ διαιτηθεὶς ἡμέρας δέκα [3]προσθέσθω τοῦ τε σιτίου τὸ ἥμισυ καὶ τῶν πόνων τὸ τρίτον μέρος· καὶ ἔμετον ποιησάσθω ἀπὸ [4]τῶν ξηρῶν καὶ στρυφνῶν, καὶ μὴ διατριβέτω ἐν τῷ σίτῳ, [5]ἀλλὰ τὴν ταχίστην ἐμείτω· ἐκ δὲ τοῦ ἐμέτου προσαγέτω ἐς ἡμέρας τέσσαρας τὸ σιτίον καὶ τὸ ποτὸν καὶ τὸν πόνον μερίζων· ὅταν δὲ [6]ἡ δεκὰς τῶν ἡμερέων γένηται, προσθέσθω τὸν σῖτον [7]τὸν λοιπὸν καὶ τῶν οἴνων τὸ πότιμον, πλὴν τῶν πόνων ἐνδεέστερον· καὶ ἔμετον ποιησάμενος προσαγέτω, καθάπερ γέγραπται· μονοσιτέειν δὲ τοῦτον τὸν χρόνον ξυμφέρει μέχρις ἂν καταστῇ.

82. Ἄλλοισι δέ τισι ξηρόν [8]τι καὶ συγκεκαυμένον τὸ διαχώρημα γίνεται, καὶ τὸ στόμα ξηρὸν, προϊόντος δὲ τοῦ χρόνου καὶ πικρὸν [9]γίνεται, καὶ ἡ κοιλίη ἵσταται καὶ [10]ἡ οὔρησις· ὅταν γὰρ μὴ ἔχῃ τὸ ἔντερον ὑγρασίην, περὶ τὸν ἀπόπατον περιοιδῆσαν ἀποφράσσει τὰς διεξόδους, ὀδύνην τε παρέχει, καὶ θέρμη λαμβάνει, καὶ ὅ τι ἂν πίῃ ἢ φάγῃ ἐξεμέει· [11]τελευτῶν δὲ καὶ κόπρον ἐμέει· οὗτος οὐ βιώσιμος, ὅταν ἐς τοῦτο ἔλθῃ. Ἀλλὰ χρὴ πρότερον προμηθέεσθαι γινώσκοντα ὅτι [12]ξηρασίῃ θερμῇ κρατέεται ὤνθρωπος. Διαιτῆσθαι οὖν χρὴ αὐτὸν τῇ τε μάζῃ προφυρητῇ ῥαντῇ καὶ ἄρτῳ σιτανίων πυρῶν τῷ [13]τε χυλῷ

[1]Πολλῇ H. – Post πολλὴ addit καὶ μετὰ πλησμονὴν in marg. al. manu H. – κατὰ πλησμονὴν pro πολλὴ FGIJK. – τοῖ (sic) pro τοῖσι K. – ἱκανοῖσι κατὰ (πρὸς Lind.) τὸν πόνον vulg. – πρὸς τὸν πόνον ἱκανοῖσι EHθ. — [2]τοῦ om. θ. – πλείοσι κατὰ τὰ σιτία vulg. – πρὸς τὰ σιτία πλείοσι EH (θ, πλείστοισι). – συμμ. IJK. – πρὸς τὴν ἕξιν συμμ. EHθ. – λούσθω θ. – χλιαρῷ K. – χλιηρῷ J. – ἄτρεμας (H, al. manu ἀτρεμεέτω) θ. – οὕτως θ. – δὲ θ. – δὲ om. vulg. — [3]προσθέσθαι K. – σίτου EIJKQ'θ. — [4]τῶν θ. – σιτίων pro τῶν vulg. – μὴ διάτριβε ἐν τῷ σιτίῳ θ. — [5]ἀλλ' ἐμείτω τὴν ταχίστην EH (θ, ἀλλά). – ἐμεέτω Lind., Mack. – προσαγέτω EHθ. – προσαγέσθω vulg. – εἰς vulg. – ἐς Eθ, Lind. – τὸν σίτον θ. – καὶ τὸ ποτὸν θ. – καὶ τὸ ποτὸν om. vulg. — [6]ἡ om. (H, restit. al. manu) θ. – τῶν ἡμ. om. (H, restit. al. manu) θ. – ἡμερῶν EGJ. — [7]τὸν θ. – τὸν om. vulg. – σιτῶν (sic) pro οἴνων θ. – τὸ πότιμον om. θ. – πλὴν om., restit. al. manu H. – πρὸς pro πλὴν θ. – τὸν πόνον Jθ. – ἐνδεεστέρως θ. – μονοσιτεῖν θ. – συνφέρει θ. – μέχρι Hθ. – ἣν pro ἂν H. – καταστῇ θ. – καταστήσῃ vulg. — [8]τι om. (H, restit. al. manu) θ. – συγκεκαυμένον EHQ'θ, Zwing. in marg. – διακεκαυμένον vulg. – συνδιακεκαυμένον Codd. Regg. ap. Foes in notis. — [9]Post γίν. addit καὶ ξηρὸν θ. — [10]ἡ om. Hθ. – ὁκόταν θ.

nent, mais il ne faut pas s'y livrer beaucoup. On fera des promenades après les exercices, suffisantes pour la peine qu'on y a prise; après le dîner, aussi considérables que le réclameront les aliments; et le matin, proportionnées à la constitution. On se lavera à l'eau tiède et l'on se tiendra en repos. Après avoir vécu ainsi pendant dix jours, on reprendra la moitié des aliments et le tiers des exercices; et on fera le vomissement avec des aliments secs et astringents qu'on ne laissera pas longtemps dans l'estomac; mais on revomira le plus tôt possible. Après le vomissement, on accroîtra graduellement pendant quatre jours les aliments, les boissons et les exercices. Quand les dix jours seront accomplis, on reprendra le reste des aliments et le vin que l'on boit; seulement on fera un peu moins d'exercices que ce n'était l'habitude. On vomira, et l'on ira par progression comme cela est écrit. Pendant ce temps il importe de ne faire qu'un repas (*celui du soir*), jusqu'à ce que les symptômes aient disparu.

82. (*Septième cas où les exercices l'emportent sur les aliments. Il est caractérisé par des selles sèches et calcinées.*) Chez d'autres les selles sont sèches et calcinées; la bouche est sèche, et, au bout de quelque temps, elle devient amère; le ventre se resserre et l'urine s'arrête. En effet, quand l'intestin n'a pas d'humidité, il se tuméfie autour des matières, obstrue les voies et cause de la douleur; la chaleur fébrile survient; quoi qu'on boive ou qu'on mange, on le vomit; à la fin on vomit même des matières fécales. Quand les choses en sont là, il n'y a plus de chances de salut. Mais auparavant il faut y pourvoir, sachant que le sujet est vaincu par une humidité chaude. Il sera mis à l'usage de la polenta

-περιοιδήσαντι EGHIJK, Ald., Zwing. in marg. -περιοιδῆσάν τι Lind., Mack. -καὶ ὀδύνην τε Hθ. -θέρμην JK. -φάγη ἢ πίη θ. —[11] τελ. δὲ κ. κ. ἐμέει om. θ. -τελευτὼν (sic) EIJ. -καὶ om. J. -ὁκόταν θ. —[12] ξηρῇ τῇ θέρμῃ vulg. -ξηρῇ καὶ θέρμῃ legit cum Cornar. Foes in not. -ξηρὴ ἢ (ἡ Ald.) θέρμη EFGHIJK. -ξηρασίη θερμῇ θ, Mack. -ὥνθρωπος θ. -ὁ ἄνθρωπος vulg. -διαιτεῖσθαι J. -διαιτᾶσθαι θ. -προφυρῇ τῇ E. -πορφυρητῇ θ. -προφυρηθείση K'. -ἄρτων EP'. —[13] τε EHθ. -τε om. vulg. -χυμῷ θ. -ἐζυμωμένων EH.

τῶν πιτύρων ἐζυμωμένῳ, λαχάνοισί [1] τε χρῆσθαι πλὴν τῶν δριμέων καὶ ξηρῶν καὶ ἑψανοῖσι· καὶ τῶν ἰχθύων τοῖσι κουφοτάτοισιν ἑφθοῖσι· καὶ τοῖσι κεφαλαίοισι τῶν [2] τε ἰχθύων καὶ καράβων· μυσὶ καὶ ἐχίνοισι καὶ τοῖσι [3] καρκίνοισι, καὶ τῶν κογχυλίων τοῖσι χυλοῖσι καὶ αὐτοῖσι τοιούτοισιν ὑγροτάτοισι· κρέασι δὲ, [4] τοῖσιν ὑείοισιν ἀκροκωλίοισιν ἐμπροσθίοισιν ἑφθοῖσι [5] καὶ ἐρίφων καὶ ἀρνῶν καὶ σκυλάκων ἑφθοῖσιν· ἰχθύων [6] δὲ τοῖσι ποταμίοισι καὶ λιμναίοισιν ἑφθοῖσιν· οἴνῳ μαλακῷ, ὑδαρεῖ· [7] τοῖσι δὲ πόνοισι μὴ πολλοῖσι μηδὲ ταχέσιν, ἀλλ' ἡσύχοισι πᾶσι· τοῖσι δὲ περιπάτοισι πρωῒ μὲν χρήσθω, πρὸς τὴν ἕξιν ἱκανοῖσι καὶ ἀπὸ γυμνασίου [8] πρὸς τὸν πόνον ξυμμέτροισιν· ἀπὸ δείπνου δὲ μὴ περιπατείτω· λουτροῖσι δὲ χρήσθω καὶ ὕπνοισι [9] μαλακοῖσι καὶ ἀρίστῳ· ὕπνῳ τε μετὰ τὸ ἄριστον μὴ μακρῷ· ὀπώρῃ τε τῇ ὑγραινούσῃ μετὰ τῶν σιτίων χρήσθω· καὶ τοῖσιν ἐρεβίνθοισι τοῖσι χλωροῖσι, [10] καὶ ξηροὺς δὲ βρέξας ἐν ὕδατι· ἀφελέσθω δὲ τῶν πόνων [11] καὶ οὗτος ἐξ ἀρχῆς τοὺς ἡμίσεας τῶν πρόσθεν· [12] καὶ ἔμετον ποιησάσθω ἀπὸ γλυκέων καὶ λιπαρῶν καὶ ἁλμυρῶν καὶ πλειόνων, [13] ἐνδιατριβέτω δὲ ὡς πλεῖστον χρόνον ἐν τοῖσι σιτίοισι πρὸς τοὺς ἐμέτους· εἶτα [14] προσαγέτω τὸ σιτίον ἐς ἡμέρας τρεῖς, καὶ μὴ μενέτω ἀνάριστος· ὁκόταν δὲ ἡμέραι δέκα γένωνται, τῶν πόνων [15] προσαγέτω πλείονας· κὴν μὲν οὖν ἡ πλησμονὴ ἐνῇ ἀπὸ τοῦ σιτίου ἢ τῆς κοιλίης πλημμέλεια, ἐμεσάτω· ἢν δὲ μὴ, οὕτω θεραπευέσθω τὸν ἐπίλοιπον χρόνον.

83. [16] Γίνεται δὲ καὶ τοιάδε· φρῖκαι ἀπὸ τῶν περιπάτων ἐγγίνον-

[1] Δὲ pro τε EH. – ἑψανοῖσι H. – ἑψάνοισι vulg. – κεφαλέοισι K. — [2] τε om. EH. — [3] σαρκίνοισι GIJ. – κογχυλίων Kθ. – κογχύλων vulg. – χυμοῖσι θ. – Post αὐτοῖσι addit τοιούτοισιν θ (τοῖσιν EGHIJK, Ald.). – τοι. om. vulg. — [4] τοῖς GHJθ. – τοῖ (sic) I. – ὑοῖσι GHIJ, Ald. – Ante ἀκρ. addunt καὶ Lind., Mack. – ἐμπροσθίοις GHIJK. – ἐμπροσθείοις E. – ἐμπροσθιδίοισιν θ. — [5] καὶ.... ἑφθοῖσιν om. IJ. – καὶ.... λιμναίοισιν ἑφθοῖσιν om. FGK. – ἐρύφων Ald., Frob., Mack. — [6] δὲ EHIJθ, Ald., Lind. – δὴ vulg. — [7] τοῖσι.... πᾶσι om. G. – ταχέσιν IJKθ, Zwing. in marg., Lind., Mack. – παχέσι vulg. – ἡσυχίοισι IJKθ. – ἡσύχεσι Frob., Zwing. – ἅπασι θ. — [8] πρὸς τὸν πόνον θ. – πόνων (πόνου FG; πόνοις E) sine πρὸς τὸν vulg. – συμμ. EIJKθ. – περιπατεέτω Lind. – περιπαέτω (sic), al. manu πατεί E. – D'après Mack θ a περιπατεέτω; ma collation n'en dit rien. — [9] μαλακοῖς θ. – μὴ EHIKθ. – οὐ vulg. – λοιπῶν pro σιτίων θ. — [10] καὶ ξηροὺς δὲ θ. – καὶ ξηροῖσι sine δὲ vulg. – ἐν τῷ ὕδατι Mack. — [11] καὶ οὗτος ἐξ ἀρχῆς τοὺς ἡμίσεας τῶν πρόσθεν EHθ. – τῶν πρόσθεν τοὺς ἡμίσειας (ἡμίσεας IK, Zwing., Lind., Mack) καὶ οὗτος ἐξ ἀρχῆς vulg. — [12] καὶ om. Lind. – ποιησάσθω ἔμετον EH (θ, ποιησάτω). – ἀπὸ τῶν EHθ. –

pétrie et humectée; du pain de blé de printemps, fermenté avec l'eau de son; des herbages cuits excepté les herbes âcres et chaudes; des poissons les plus légers bouillis; des têtes de poissons et de crabes; des moules, des oursins et des écrevisses; des bouillons de coquillages et, parmi les coquillages, de ceux qui sont les plus humides; en fait de viandes, des extrémités antérieures du porc bouillies; du chevreau, de l'agneau et du petit chien bouillis; des poissons de rivière et d'étang bouillis; d'un vin mou, aqueux; d'exercices qui ne seront ni considérables ni rapides, mais doux; de promenades du matin, suffisantes pour la constitution, et, après le gymnase, proportionnées à la fatigue éprouvée. Il ne se promènera pas après le repas. Il se baignera, dormira mollement et déjeunera. Le sommeil après le déjeuner ne sera pas long. Il usera de fruits humectants avec les aliments; des pois chiches verds et secs; les secs, il les fera tremper dans l'eau. Il retranchera, lui aussi, dès le commencement la moitié de ses exercices antérieurs; il fera le vomissement avec des aliments doux, gras, salés et abondants; il les gardera le plus longtemps possible pour les revomir. Puis il augmentera graduellement la nourriture pendant trois jours. Il ne restera pas sans déjeuner. Quand dix jours auront passé, il reprendra progressivement la plupart des exercices. Si donc il y a ou plénitude à la suite des aliments ou paresse du côté du ventre, il vomira; sinon, il continuera le traitement le reste du temps.

83. (*Huitième cas où les exercices l'emportent sur les aliments. Il est caractérisé par des frissonnements à la suite des promenades du matin.*) On voit encore de tels symptômes : il survient des frissonnements à la suite des promenades du matin,

πιόνων pro πλειόνων θ. — [13] καὶ διατριβέτω δὲ τέως E. – δὲ om., restit. al. manu H. – ὡς θ. – τέως pro ὡς vulg. — [14] προσαγέσθω E. – ἐς Eθ, Lind. – εἰς (εἰς om. GIJK) vulg. – μηδ' (μηδὲ Lind.) ἀνάριστος ἔστω EHθ, Zwing. in marg., Lind. – ὅταν θ. — [15] προσαγέσθω πλείονας θ. – πλείονα vulg. – κῆν (ἣν EHθ) μὲν οὖν ἡ πλησμονὴ (πλεισμονῆ θ) ἐνῇ (ἐν ᾗ EIJ) καὶ (καὶ om. EFGHIJθ, Ald.) ἀπὸ (addunt τοῦ EHIJKθ, Ald.) σιτίου (σίτου EHIJKθ) ἡ (ἢ EHK) τῆς κοιλίης πλημμέλεια (πλημμελια sic θ; πλημέλειαν I) vulg. — [16] γίνονται GI.

ται [1]τῶν τοῦ ὄρθρου, καὶ τὴν κεφαλὴν βαρύνεται τοσούτῳ ὁκόσῳ πλείονες οἱ περίπατοι τῆς ξυμμετρίης· [2]κενούμενον γὰρ τὸ σῶμα καὶ ἡ κεφαλὴ τοῦ ὑγροῦ φρίσσει καὶ βαρύνεται· προϊόντος δὲ τοῦ χρόνου ἐς πυρετὸν ἀφικνέεται φρικώδεα. Ἀλλ' οὐ χρὴ προΐεσθαι ἐς τοῦτο, [3]ἀλλ' ἐκθεραπεύεσθαι πρότερον ὧδε· ὅταν γένηται τάχιστα τῶν τεκμηρίων [4]τινὰ, χρισάμενον καὶ ἀνατριψάμενον ὀλίγα, τὸ ἄριστον ποιήσασθαι πλέον τοῦ εἰθισμένου, καὶ πιεῖν ἱκανὸν οἶνον μαλακὸν, εἶτα ὕπνῳ [5]χρήσασθαι ἀπὸ τοῦ ἀρίστου ἱκανῶς· ἐς τὴν ἑσπέρην [6]δὲ κούφοισι χρησάμενον γυμνασίοισι θερμῷ τε λουσάμενον, δειπνῆσαι τὸ εἰθισμένον· περιπάτοισι δὲ μὴ χρῆσθαι ἀπὸ δείπνου, διατρίβειν δὲ χρόνον· τῇ δὲ ὑστεραίῃ ἀφελέσθω [7]τῶν γυμνασίων πάντων καὶ τῶν περιπάτων τὸ τρίτον μέρος, τοῖσι δὲ σίτοισι χρησάσθω ὥσπερ εἴθιστο· λουέσθω δὲ χλιαρῷ, καὶ τῷ ἐλαίῳ ἀλειφέσθω ἐν τῷ ὕδατι· [8]ὕπνοισί τε μαλακοῖσι διαγέτω, ἡμέρῃσι δὲ πέντε τοὺς πόνους προσαγέτω κατὰ μικρόν.

84. Εἰσὶ δέ τινες οἳ φρίσσουσιν ἐκ τῶν γυμνασίων, καὶ, ἐπειδὰν [9]ἐκδύηται, μέχρις ἂν διαγωνίσηται· ὅταν δὲ ψύχηται, πάλιν φρίσσει· βρυγμός [10]τε τὸ σῶμα ἔχει· ὑπνώσσει τε, ὅταν [11]δὲ ἐξέγρηται, χασμᾶται πολλάκις· ἐκ δὲ τοῦ ὕπνου τὰ βλέφαρα βαρέα αὐτῷ· προϊόντος δὲ τοῦ χρόνου καὶ πυρετοὶ ἐπιγίνονται φαῦλοι, καὶ φλυαρεῖ. Φυλάσσεσθαι οὖν χρὴ [12]μὴ προΐεσθαι ἐς τοῦτο, ἀλλὰ θεραπεύεσθαι πρότερον ὧδε· πρῶτον μὲν τῶν γυμνασίων ἀφελέσθω [13]πάντα ἢ τὰ ἡμίσεα· τοῖσι δὲ σιτίοισιν ἅπασι χρήσθω ὑγροτέροισί [14]τε καὶ ψυχρο-

[1] Τῶν ὀρθρίων θ. – τοῦ om., restit. al. manu H. – βαρύνονται τοσούτῳ ὁκόσῳ θ. – τούτῳ (τουτέῳ Mack) pro τοσούτῳ ὁκ. vulg. – ξυμμετρίας (σ. IJK) vulg. – συμμετρίης EH. — [2] κενουμένου I. – δὲ pro γὰρ EHθ. – φρίσσει τε καὶ θ. – φρικώδη GIJK. — [3] ἀλλὰ θ. – τῶν om. K. — [4] τι (H, al. manu τινὰ) θ. – χρησάμενον G, Ald. – τὸ om. (H, restit. al. manu) θ. – πλέον θ. – πλεῖον vulg. — [5] χρῆσθαι θ. – ἱκανῶ θ. — [6] δὴ H. – θερμῶς EHJ. – τε om. EHθ. – ἠθισμένον Frob. – περιπάτω θ. – ἀπὸ τοῦ δείπνου θ. – δ' θ. – ὑστερέη J. — [7] τῶν.... ἀλιφέσθω θ. – τῶν.... ἀλειφέσθω om. vulg. – Cette lacune s'explique très-bien : le copiste de qui provient l'original du texte de vulg. a sauté d'ἀφελέσθω à ἀλειφέσθω. Par cette lacune dans vulg. ἀφελέσθω se trouvait rapproché de ἐν ὕδατι; aussi a-t-on proposé, au lieu de ἀφελέσθω, de lire ἀπολουέσθω, leçon qui a été reçue dans le texte de Linden et dans celui de Mack. La restitution fournie par θ remédie à tout. — [8] ἐν ὑπν. vulg. – ἐν om. (H, restit. al. manu) θ. – δὲ pro τε θ. – διαγέτω EHKQ'θ, Zwing. in marg., Lind., Mack. – διαγέσθω vulg. – ἡμέρῃσι δὲ πέντε τοὺς (τούτους J; οὗτος, τοῦτο Zwing. in marg.) προσαγέσθω vulg. – ἐν ἡμέρῃσι δὲ πέντε τοὺς πόνους προσ-

la tête est pesante d'autant plus que les promenades dépassent davantage la mesure ; en effet le corps et la tête, éprouvant une déperdition de l'humide, frissonnent et deviennent pesants ; au bout de quelque temps une fièvre avec frisson se met de la partie. Il ne faut pas laisser aller les choses jusque-là, mais auparavant on traitera ainsi : dès que se montrent quelques-uns des signes, le sujet fera des onctions et quelques frictions ; il déjeunera plus que d'habitude, et boira suffisamment d'un vin doux. Puis il dormira suffisamment après le déjeuner. Le soir il fera des exercices peu fatigants, prendra un bain chaud et dînera comme d'habitude. Il ne se proménera pas après le dîner, mais il usera le temps. Le lendemain, il retranchera le tiers de tous les exercices et des promenades ; mais il mangera comme d'habitude. Il prendra un bain tiède, et s'oindra avec de l'huile dans de l'eau. Il dormira mollement ; et en cinq jours il reviendra peu à peu à ses exercices.

84. (*Neuvième cas où les exercices l'emportent sur les aliments. Il est caractérisé par des frissonnements à la suite des exercices du gymnase.*) Il en est qui frissonnent à la suite des exercices, et, après avoir mis habit bas, jusqu'à l'engagement. Quand ils se sont refroidis, le frissonnement revient, et les dents claquent. Ils ont de la somnolence, et, se réveillant, ils baîllent souvent. Après le sommeil les paupières sont pesantes. Au bout de quelque temps surviennent des fièvres mauvaises, et le délire s'en mêle. Il faut prendre garde à ce que les choses n'aillent pas jusque-là, mais traiter auparavant ainsi :

αγέτω θ. – L'omission de πόνους a suggéré les essais de correction proposés par Zwinger. Au reste Linden a vu la vraie restitution et il a imprimé τοὺς πόνους. — [9] ἐκδύσωνται μέχρι διαπονήσωσιν θ. – μέχρι sine ἂν, al. manu μέχρις ἂν H. – διαπονήσωσιν EHQ'. – διαγωνήσωσι Zwing. in marg. — [10] τι pro τε G. — [11] δ' θ. – ἔκ τε θ. – ὕπνου θ, Mack. – δείπνου vulg. – αὐτῷ om. E HKθ. – ἐνγίνονται ἰσχυροὶ, καὶ φλυαρεῖ θ. – καὶ φλυαρεῖ om. vulg. — [12] μηδὲ Lind. – πρόεσθαι, al. manu προΐεσθαι H. – προσίεσθαι θ. – ἀλλ' ἐκδιαιτῆσθαι E (H, al. manu ἐκθεραπεύεσθαι) K (θ, ἐκδιαιτήσασθαι), (ἐκδιαιτεῖσθαι, Zwing. in marg., Lind.). – πρότερον om. EKθ. – Mack dit que θ a διαιτήσασθαι. — [13] πάντα ἢ τὰ ἡμίσεα θ, Mack. – πάντων τὰ ἡμίσεια (ἡμίσεα EGHI JK, Ald., Frob., Zwing., Lind.) vulg. – σίτοισι πᾶσι θ. — [14] δὲ pro τε HIJKθ.

τέροισι, καὶ τοῖσι πόμασι μαλακωτέροισι καὶ ὑδαρεστέροισιν· [1]ὅταν δὲ παρέλθωσιν ἡμέραι πέντε, τῶν πόνων προσθέσθω τὸ τρίτον μέρος τῶν ἀφαιρεθέντων· τοῖσι δὲ [2]σιτίοισι χρήσθω τοῖσιν αὐτοῖσι· πέμπτῃ δὲ ἡμέρῃ ἄλλῃ τοὺς ἡμίσεας τῶν λοιπῶν πόνων προσθέσθω· αὖθις δὲ πέμπτῃ μετὰ τοῦτο [3]ἀπόδος τοὺς πόνους πάντας κουφοτέρους καὶ ἐλάσσονας, ὡς μὴ πάλιν ὑπερβολὴ γένηται.

85. [4]Τοῖσι γὰρ πάσχουσι ταῦτα τὰ τεκμήρια οἱ πόνοι κρέσσους εἰσὶ τῶν σιτίων· ἀνισάζειν οὖν χρή. Ἔνιοι δὲ οὐ ταῦτα [5]πάντα πάσχουσιν, ἀλλὰ τὰ μὲν, τὰ δ' οὔ. Πάντων δὲ τουτέων τῶν τεκμηρίων οἱ πόνοι κρατέουσι τῶν σίτων, καὶ [6]ἡ θεραπείη ἡ αὐτή. Ξυμφέρει δὲ τούτοισι θερμολουτέειν [7]καὶ μαλακῶς εὐνάζεσθαι, μεθυσθῆναι [8]δὲ ἅπαξ ἢ δὶς, πλὴν ἀλλὰ μὴ ἐς ὑπερβολήν· ἀφροδισιάσαι τε ὅταν ἐπιγένηται· [9]ῥᾳθυμῆσαι πρὸς τοὺς πόνους, πλὴν τῶν περιπάτων.

[1] Ὁκόταν θ. – προσθέσθω τῶν πόνων θ. — [2] σίτοισι θ. – ἄλλη ἡμέρη Jθ. — [3] ἀποδοὺς θ. – καὶ (καὶ om. θ, Mack) κουφοτέρους τε (τε om. θ; δὲ pro τε Mack) καὶ vulg. – Mack dit que θ a δέ. — [4] τοῖσι.... εἰσὶ om. θ. — [5] πάντα θ. – πάντα om. vulg. – τούτων θ. – κραταίουσι G. – σιτίων J, Mack. — [6] ἡ om. θ. – συμφέρει θ. – τουτέοισι Lind., Mack. – θερμολουτεῖν θ. — [7] καὶ om. (H, restit. al. manu) θ. – μαλακευνεῖν pro μ. εὐνάζεσθαι θ. – εὐνάζεσθαι om., restit. al. manu H. – εὐμνάζεσθαι (sic) I. — [8] δὲ om. EHKθ. – Dacier, pour sauver Hippocrate du reproche d'avoir conseillé de s'enivrer une ou deux fois, prétend (et Mack le suit) que μεθυσθῆναι signifie seulement ici : *boire du vin pur*. – πλὴν ἀλλὰ om. (H, πλὴν restit. al. manu) θ. – ἀλλὰ om. EK. – εἰς E. – τε om. θ. – ὑποπτῆ (sic) pro ἐπιγένηται θ. — [9] [καὶ] ῥαθ. Lind. – πλὴν τῶν περιπάτων θ. – περιπάτους δὲ μὴ ποιῆσαι ὅλως pro πλ. τῶν π. vulg.

d'abord on retranchera tous les exercices gymnastiques ou la moitié. On usera des aliments de nature humectante et rafraîchissante, et de boissons plus molles et plus aqueuses. Au bout de cinq jours, on reprendra le tiers des exercices retranchés. On usera des mêmes aliments. Au bout de cinq autres jours, on reprendra la moitié du reste des exercices. Au bout de cinq jours encore, on se remettra à tous ses exercices, seulement moindres et moins fatigants, afin que derechef l'excès ne se fasse pas sentir.

85. (*Remarque générale sur les cas où les exercices l'emportent sur les aliments.*) De fait, chez tous ceux qui présentent ces symptômes, les exercices l'emportent sur les aliments. Il faut donc rétablir l'égalité. Quelques-uns n'ont pas tous ces accidents, mais les uns ont ceux-ci, les autres ceux-là. Avec tous ces signes les exercices surmontent les aliments, et le traitement est le même. Il convient de prendre des bains chauds, de dormir mollement, de s'enivrer une fois ou deux mais non d'une façon excessive, de se livrer au coït quand l'occasion s'en présente, de laisser les exercices excepté les promenades.

FIN DU TROISIÈME LIVRE DU RÉGIME.

ΠΕΡΙ ΔΙΑΙΤΗΣ.

ΤΟ ΤΕΤΑΡΤΟΝ Η ΤΟ ΠΕΡΙ ΕΝΥΠΝΙΩΝ.

DU RÉGIME.

LIVRE QUATRIÈME OU DES SONGES.

ARGUMENT.

L'auteur distingue deux espèces de songes : ceux qu'il nomme divins, et ceux qui proviennent d'un état du corps. Les premiers ont des interprètes qui possèdent un art régulier et des règles précises, aussi l'explication en est-elle satisfaisante. Mais quand ces mêmes interprètes appliquent leur art aux songes provenant d'un état corporel, alors leurs règles, précises tout à l'heure, deviennent incertaines ; et ce n'est plus que par hasard qu'ils rencontrent juste. C'est pour cette dernière catégorie de songes que l'auteur trace une interprétation médicale.

Ainsi, suivant ce partage des songes, les uns proviennent des dieux, et tombent dans le domaine des devins; les autres proviennent du corps, et tombent dans le domaine des médecins. J'ai fait remarquer que c'est la doctrine fermement établie de l'auteur des traités *sur les Airs, les Eaux et les Lieux,* et *sur la Maladie sacrée,* que toutes les maladies sont naturelles, et qu'aucune n'est divine. L'auteur du livre du *Régime* fait pour les songes une dérogation à ce principe, qu'on doit dire hippocratique. Un tel compromis peut se comparer à celui que fit Descartes, quand, établissant l'automatisme des bêtes, il déclara du domaine de la *physique*

toute la nature jusques et y compris les animaux, et réserva l'homme seul à la *métaphysique*. Séparer les songes en deux catégories, l'une divine et l'autre naturelle, ou séparer le règne organique en deux parts, l'une animale et l'autre humaine, est une erreur analogue, et qui, dans les deux cas, a été inspirée par l'état mental de l'époque. On croyait trop à la divinité des songes du temps d'Hippocrate, on avait trop peu de lumières sur la biologie du temps de Descartes, pour que la conception véritable fût introduite d'un coup et tout à la fois.

L'auteur divise les songes que nous appellerons avec lui corporels : en ceux qui représentent les actions ou les pensées de la veille; en ceux qui sont relatifs aux phénomènes célestes; en ceux qui s'occupent d'objets terrestres; en ceux où l'on se voit soi-même; en ceux où l'on voit les morts; enfin en songes qui offrent des visions diverses.

Le régime qu'il convient de suivre en chaque cas est exposé; et le livre se termine par une phrase brève où l'auteur, rappelant l'ensemble de son travail, se donne de nouveau le témoignage d'avoir découvert les règles hygiéniques qui assurent la santé.

ΠΕΡΙ ΔΙΑΙΤΗΣ.

ΤΟ ΤΕΤΑΡΤΟΝ Η ΤΟ ΠΕΡΙ ΕΝΥΠΝΙΩΝ.

86. [1] Περὶ δὲ τῶν τεκμηρίων τῶν ἐν τοῖσιν ὕπνοισιν ὅστις ὀρθῶς [2] ἔγνωκε, μεγάλην ἔχοντα δύναμιν εὑρήσει πρὸς ἅπαντα. [3] Ἡ γὰρ ψυχὴ ἐγρηγορότι μὲν τῷ σώματι ὑπερητέουσα, ἐπὶ πολλὰ μεριζομένη, οὐ γίγνεται αὐτὴ ἑωυτῆς, ἀλλ' ἀποδίδωσί [4] τι μέρος ἑκάστῳ τοῦ σώματος, ἀκοῇ, ὄψει, ψαύσει, ὁδοιπορίῃ, [5] πρήξεσι παντὸς τοῦ σώματος· [6] αὐτὴ δ' ἑωυτῆς ἡ διάνοια οὐ γίνεται. [7] Ὁκόταν δὲ τὸ σῶμα ἡσυχάσῃ, ἡ ψυχὴ κινευμένη καὶ ἐπεξέρπουσα τὰ μέρη τοῦ σώματος διοικέει τὸν ἑωυτῆς οἶκον, καὶ τὰς τοῦ σώματος [8] πρήξιας ἁπάσας αὐτὴ διαπρήσσεται. Τὸ μὲν γὰρ σῶμα καθεῦδον οὐκ αἰσθάνεται, ἡ [9] δ' ἐγρηγοροῦσα γινώσκει, καθορῇ τε τὰ ὁρατὰ καὶ διακούει τὰ ἀκουστὰ, βαδίζει, ψαύει, λυπέεται, ἐνθυμέεται, ἐν ὀλίγῳ [10] ἐοῦσα, ὁκόσαι τοῦ σώματος ὑπηρεσίαι ἢ τῆς ψυχῆς, [11] ταῦτα πάντα ἡ ψυχὴ ἐν τῷ ὕπνῳ διαπρήσσεται. Ὅστις οὖν ἐπίσταται κρίνειν ταῦτα ὀρθῶς, μέγα μέρος ἐπίσταται σοφίης.

87. Ὁκόσα μὲν οὖν τῶν ἐνυπνίων θεῖά ἐστι καὶ προσημαίνει [12] τινὰ συμβησόμενα ἢ πόλεσιν ἢ τῷ ἰδιώτῃ λαῷ ἢ κακὰ ἢ ἀγαθὰ μὴ

[1] Ceci, dans EFGHIJKθ, Ald., est la suite du IIIe livre et ne commence pas le livre Des Songes.–τοῖς K.–La collation du Περὶ Ἐνυπνίων pour θ est due à M. le docteur Miclovich, qui a remplacé dans ce travail M. Pœschl, alors malade. — [2] ἔγνωκε θ.–γινώσκει (γιγν. I) vulg. — [3] ἡ γὰρ ψ. ἐγρήγορεν· ὅταν (ὅτε EHK) μὲν οὖν (οὖν om. EGHIJK, Ald.) (addunt τῶ GJK, Zwing. in marg., Lind., Mack) σώματι ὑπερητοῦσα (ὑπερητέουσα EIK) ᾖ (ᾖ om., restit. al. manu H), ἐπὶ vulg.–ἡ γὰρ ψ. ἐγρηγορότι μὲν τῶ σώματι ὑπερητοῦσα, ἐπὶ θ.–γίνεται EIJθ.–αὐτὴ ἐν sic (al. manu ἑ) αὐτῆς H.–ἑαυτῆς EIJK. — [4] τὸ pro τι θ.–Post σώματος addunt ἤγουν (ἢ Ald.) τοῖσιν (τοῖς EGIJK) αἰσθητηρίοισιν vulg.–ἤγουν τ. αἰσθ. om. (H, restit. al. manu) θ. — [5] πρήξει (πράξει E) καὶ (καὶ om., restit. al. manu H) πάσῃ τῇ (τῇ om., restit. al. manu H) τοῦ σώματος διανοίῃ (διακονίῃ Zwing.; διακονίῃ ex melioribus codd. lego, inquit Foes in not.) vulg.–πρήξεσι παντὸς τοῦ σώματος θ. — [6] αὕτη δὲ ἡ διάνοια ἑωυτῆς θ.–δ' ἑαυτῆς IJ.–δὲ αὐτῆς EHK. — [7] ὅταν θ.–κινεομένη θ.–ἐγρηγορεύουσα τὰ πρήγματα pro ἐπεξ. τὰ μ. τ. σώματος θ.–τὰ σώματα, al. manu τὰ μέρη H.–διοικέει τὸν ἑωυτῆς θ.–διοικεῖ τὸν ἑαυτῆς vulg. — [8] πρήξειας FG.–αὐτὴ EHK.–αὕτη vulg. — [9] δὲ γρηγοροῦσα (ἐγρηγορεύουσα θ) vulg.–D'après Mack, θ a ἐγρηγορέουσα.–δ' ἐγρηγοροῦσα

DU RÉGIME.

LIVRE QUATRIÈME OU DES SONGES.

86. (*De l'importance médicale des songes.*) Les signes qui se montrent dans le sommeil seront trouvés posséder pour toute chose une grande vertu par celui qui saura en juger sainement. En effet l'âme, alors qu'elle sert le corps éveillé, se partage entre plusieurs occupations et n'est pas à elle-même; mais elle donne une certaine portion de son activité à chaque affaire du corps, à l'ouïe, à la vue, au toucher, à la marche, à toutes les actions corporelles. De la sorte, l'intelligence ne s'appartient pas. Au lieu que, quand le corps repose, l'âme, mue et parcourant les parties du corps, gouverne son propre domicile et fait elle-même toutes les actions corporelles. En effet le corps, dormant, ne sent pas; mais elle, éveillée, a la connaissance, voit ce qui se voit, entend ce qui s'entend, marche, touche, s'afflige, se recorde, accomplissant, dans le petit espace où elle est, pendant le sommeil, toutes les fonctions du corps ou de l'âme. Aussi quiconque en sait juger sainement, connaît une grande partie de la science.

87. (*Les interprètes des songes expliquent fort bien et suivant un art exact les songes divins; mais ils n'ont aucune règle pour l'explication des songes relatifs à l'état du corps.*) Parmi les songes ceux qui sont divins et présagent, soit aux villes, soit aux particuliers, des événements heureux ou malheureux non causés par la faute des parties intéressées ont des interprètes

G. – γιγνώσκει I. – καὶ ὁρῇ τε τὰ ὁρητὰ καὶ ἀκούει θ. – λυπέεται θ. – λυπεῖται vulg. – ἐνθυμεῖται, al. manu έε H. — [10] ἐοῦσα θ. – ἐοῦσα om. vulg. – Mack, qui n'a pas admis ἐοῦσα, lit, au lieu de ἐν ὀλίγῳ, ἐνὶ λόγῳ, suivant, en cela, les traducteurs, qui mettent : in summa; ut semel dicam. – ὁκόσα θ. — [11] πάντα ταῦτα θ. – σοφίης om. θ, Mack. — [12] τινὰ.... προσημαίνει om. θ τινὰ συμβ. om., restit. al. manu H. – ἰδιώτησιν pro τῷ ἰδιώτῃ λαῷ EHKP'. – δὴ pro δι' EFG (H, al. manu, erat prius δι') IJK. – ἁμαρτοίην FGHJK. – ἀκριβῆ om., restit. al. manu H.

δι' αὐτῶν ἁμαρτίην, εἰσὶν οἱ κρίνουσι περὶ τῶν τοιούτων ἀκριβῆ τέχνην ἔχοντες· ὁκόσα δὲ ἡ ψυχὴ τοῦ σώματος παθήματα προσημαίνει, πλησμονῆς ἢ κενώσιος [1] ὑπερβολὴν τῶν ξυμφύτων, ἢ μεταβολὴν τῶν ἀηθέων, κρίνουσι μὲν καὶ ταῦτα, καὶ τὰ μὲν τυγχάνουσι, τὰ δὲ [2] ἁμαρτάνουσι, καὶ οὐδέτερα τούτων γινώσκουσι, διότι γίνεται, [3] οὔθ' ὅ τι ἂν ἐπιτύχωσιν, [4] οὔθ' ὅ τι ἂν ἁμάρτωσι· φυλάσσεσθαι δὲ παραινεῦντες, μή τι κακὸν λάβῃ, [5] οὐ διδάσκουσιν ὡς χρὴ φυλάξασθαι, ἀλλὰ θεοῖσιν εὔξασθαι κελεύουσι. Καὶ τὸ μὲν εὔχεσθαι [6] πρέπον καὶ λίην [7] ἐστὶν ἀγαθόν· δεῖ δὲ καὶ αὐτὸν ξυλλαμβάνοντα τοὺς θεοὺς ἐπικαλέεσθαι.

88. Ἔχει [8] δὲ περὶ τούτων ταῦτα ὧδε· [9] ὁκόσα τῶν ἐνυπνίων τὰς ἡμερινὰς πρήξιας τοῦ ἀνθρώπου ἢ διανοίας ἐς τὴν εὐφρόνην ἐνυπνιάζεται ὑστέρην, καὶ ἀποδίδωσι κατὰ τρόπον [10] γενόμενα, ὥσπερ τῆς ἡμέρης ἐπρήχθη ἢ ἐβουλεύθη ἐν δικαίῳ πρήγματι, ταῦτα τῷ ἀνθρώπῳ ἀγαθά· ὑγείην γὰρ σημαίνει, διότι ἡ ψυχὴ παραμένει [11] ἐν τοῖσιν ἡμερινοῖσι βουλεύμασιν, οὔτε πλησμονῇ τινι κρατηθεῖσα οὔτε κενώσει οὔτε ἄλλῳ οὐδενὶ ἔξωθεν προσπεσόντι. [12] Ὅταν δὲ πρὸς τὰς ἡμερινὰς πρήξιας ὑπεναντίωται τὰ ἐνύπνια καὶ ἐγγίνηται περὶ αὐτέων ἢ μάχη [13] ἢ νίκη, τοῦτο σημαίνει ταραχὴν ἐν τῷ σώματι· [14] καὶ ἢν μὲν ἰσχυρὴ ᾖ, ἰσχυρὸν τὸ κακὸν, ἢν δὲ φαύλη, ἀσθενέστερον. Περὶ μὲν οὖν τῆς [15] πρήξιος, εἴτε δεῖ ἀποτρέπειν εἴτε μὴ [16] δεῖ, οὐ κρίνω,

[1] Ante ὑπ. addit ἢ θ. – ὑπερβολὴ, al. manu ἣν H. – ἀήθων θ. – συνηθέων K', Zwing., Mack. — [2] ἁμαρτάνουσι καὶ om. θ. – οὐδετέρως al. manu in marg. H. – διότι οὖν γίνεται vulg. – οὖν om., restit. al. manu H. — [3] οὐδ' θ. — [4] οὐδ' θ. – ἁμαρτάνωσι, al. manu ἁμάρτωσι H. – ἁμαρτῶσιν E. – παραινέοντες θ, Mack. – παραινοῦντες E. — [5] Ante οὐ addunt οἶδ' οὖν (E, οἶδ') FGHIJK, Ald.; οιδων (sic) θ. – φυλάξεσθαι IJ. – φυλάσσεσθαι θ. – κελεύοντες K. — [6] πρέπον καὶ λίην ἐστὶν om. θ. — [7] ἐστὶν om., restit. al. manu post ἀγαθὸν H. – ἀγαθόν ἐστιν EK. – συλλ. θ. — [8] δὲ EHKθ, Mack. – οὖν pro δὲ vulg. – Ante περὶ addit καὶ K. – τουτέων Mack. – D'après Mack θ a τουτέων; ma collation porte τούτων. – ταῦτα om. Hθ, Mack. — [9] C'est à ὁκόσα que commence le Περὶ Ἐνυπνίων dans EGHIJK, Ald. – ἑσπερινὰς pro ἡμερινὰς θ. – πρήξιας EHKθ, Mack. – πράξιας vulg. – ἢ διανοίας θ, Mack. – ἡ διάνοια vulg. – εὖ φρονεῖν pro εὐφρόνην θ. – ἀφρόνην (sic) G. – ἐνυπνιάζεται ὑστέρην καὶ om. θ. – ἑσπέρην (ὥσπερ ἣν Zwing. in marg., Lind, Mack) vulg. – Je pense qu'au lieu de ἑσπέρην il faut lire non ὥσπερ ἣν, mais ὑστέρην. – καὶ om., restit. al. manu H. — [10] γινομένας θ. – ὥσπερ EHQ', Zwing. in marg., Lind., Mack. – ἅπερ vulg. – ὅπερ θ. – Mack dit que θ a ὥσπερ. – τῆς ἡμέρης ἐπρήχθη θ (Mack, ἐπράχθη). – τῇσιν ἡμέρῃσιν ἐπράχθη vulg. – ἐπιβουλεύθη θ. – ἐπὶ pro ἐν θ. –

qui possèdent là-dessus un art exact. Mais les songes où l'âme annonce les affections corporelles, soit excès de plénitude ou d'évacuation des choses congénitales soit changement vers des choses inhabituées, sont expliqués aussi par les mêmes interprètes, qui, alors, tantôt rencontrent juste, tantôt se trompent, sans jamais savoir pourquoi il arrive que tantôt ils rencontrent juste et tantôt ils se trompent. Indiquant qu'il y a lieu de prendre garde à ne pas éprouver quelque mal, ils n'enseignent pas comment il faut se garder : ils se contentent de prescrire des prières aux dieux. Prier est sans doute chose convenable et excellente ; mais, tout en invoquant les dieux, il faut s'aider soi-même.

88. (*Des songes qui représentent ou qui contrarient les actions ou les pensées de la veille.*) Voici ce qu'il en est sur cet objet : les songes qui reportent les actions ou les pensées de la veille dans la nuit suivante et qui représentent d'une façon régulière ce qui a été fait ou délibéré pendant le jour dans une juste affaire, sont favorables ; ils indiquent la santé, parce que l'âme demeure dans les pensées du jour, n'étant surmontée ni par aucune plénitude ni par aucune déperdition ni par rien venant du dehors. Mais, quand les songes contrarient les actions de la veille et qu'il y a là-dessus bataille ou victoire,

πράγματι E. – ὑγιείην θ. — [11] ἐν om. HKθ. – πλεισμονῇ θ. – τινὶ om. (H, restit. al. manu) θ. — [12] ὁκόταν θ. – D'après Mack θ a ἑσπερινὰς au lieu de ἡμερινάς ; ma collation n'en dit rien. – πρήξιας EHKθ, Mack. – πράξιας vulg. – ἀπεναντίωται J. – ἐνγίνεται περὶ αὐτῶν θ. — [13] ἡ νικη (sic) σημαίνει τάραχον ἐν τῶ σώματι θ. – ἡνίκα ἂν τοῦτο (ταῦτα K ; τοῦτο om., restit. al. manu H) σημαίνει (σημαίνη H) ταραχὴν (ταραχὴ Ald.) ἐν τῶ σώματι EFGHIJK, Ald. – ἡνίκα ἂν τοῦτο συμβαίνῃ ταραχὴν σημαίνει ἐν τῷ σώματι vulg. – Il faut prendre la leçon de θ et lire ἡ νίκη, puis recevoir ou ne pas recevoir, comme on voudra, le sens restant le même, τοῦτο des mss. ; νίκη répond à ἰσχυρή ; μάχη à φαύλη. Συμβαίνῃ est un essai de correction quand une fois, ἡνίκα ayant remplacé ἡ νίκη, le véritable texte a été perdu. — [14] καὶ ἦν ἰσχυρὰ ἰσχυρὸν τὸ σῶμα θ. – Mack dit que θ a ὁκόταν au lieu de ἦν. — [15] πρήξιος EKθ. – πράξιος vulg. – εἴτ' ἀποτρέπειν, εἴτε μὴ οὐ κρίνω θ. — [16] δεῖ om. HK. – τοῦ ἀνθρώπου om. (H, restit. al. manu) θ. – συμβουλεύω θ. – πλεισμονῆς γάρ τινος ἐνγενομένης ἀπόκρισίς τις γενομένη ἐτάραξε θ. – D'après Mack θ a ἐγγενομένου. – ἐγγινομένης vulg. – γέγονε pro ἐγένετο EHKP'Q'. – ἔπραξε pro ἐτάραξε F, Ald., Zwing. in marg.

τὸ δὲ σῶμα τοῦ ἀνθρώπου θεραπεύεσθαι ξυμβουλεύω· πλησμονῆς γάρ τινος ἐγγενομένης ἀπόκρισις ἐγένετό τις, ἥτις ἐτάραξε τὴν ψυχήν. Ἢν μὲν οὖν ἰσχυρὸν ᾖ τὸ ἐναντιωθὲν, ἔμετόν τε [1]ξυμφέρει ποιήσασθαι; καὶ τοῖσι σιτίοισι κούφοισι προσάγειν ἐς ἡμέρας πέντε, [2]καὶ τοῖσι περιπάτοισιν [3]ὀρθρίοισι πολλοῖσι καὶ ὀξέσιν ἐκ προσαγωγῆς χρέεσθαι, καὶ τοῖσι [4]γυμνασίοισιν ἐπιγυμνάζεσθαι συμμέτροισι πρὸς τὴν προσαγωγὴν τῶν σιτίων. Ἢν δὲ ἀσθενέστερον τὸ [5]ἐναντιωθὲν γένηται, ἀφελὼν τὸν ἔμετον, τὸ τρίτον μέρος ἄφελε τοῦ σιτίου, καὶ [6]τοῦτο ἡσυχῇ προσάγου πάλιν ἐς τὰς πέντε ἡμέρας· καὶ τοῖσι περιπάτοισι πιέζειν, καὶ τοῖσι τῆς φωνῆς πόνοισι χρεέσθω, [7]καὶ τοῖσι θεοῖσιν εὐχέσθω, καὶ καταστήσεται αὐτῷ ἡ ταραχή.

89. Ἥλιον [8]δὲ καὶ σελήνην καὶ οὐρανὸν καὶ ἀστέρας καθαρὰ καὶ εὐαγέα, κατὰ τρόπον ὁρεόμενα ἕκαστα, ἀγαθά· ὑγείην γὰρ τῷ σώματι σημαίνει ἀπὸ πάντων τῶν ὑπαρχόντων· ἀλλὰ χρὴ διαφυλάσσειν ταύτην [9]τὴν ἕξιν τῇ παρούσῃ διαίτῃ. Εἰ δέ τι τούτων ὑπεναντίον γένοιτο, νοῦσόν τινα τῷ σώματι σημαίνει, ἀπὸ μὲν τῶν [10]ἰσχυροτέρων ἰσχυροτέρην, ἀπὸ δὲ τῶν ἀσθενεστέρων κουφοτέρην. [11]Καὶ ἄστρων μὲν οὖν ἡ ἔξω περίοδος, ἡλίου δὲ ἡ μέση, σελήνης δὲ ἡ πρὸς τὰ κοῖλα. Ὅ τι μὲν [12]οὖν δοκοίη τουτέων τῶν ἄστρων σβέννυσθαι ἢ βλάπτεσθαι ἢ ἀφανίζεσθαι ἢ [13]ἐπέχεσθαι τῆς περιόδου, [14]ἢν μὲν ὑπὸ ἠέρος ὁρᾷ ἢ νεφέλης τι τῶν ἄστρων τούτων πάσχον, ἀσθενέστερον, [15]ἢν δὲ ὑπὸ ὕδατος ἢ χαλάζης, ἰσχυρότερον· σημαίνει

[1] Σ. Iθ. -τοῖσι σίτοισι τοῖσι κούφοισι θ. —[2] καὶ om. FGIJ. —[3] ὀρθρίοισι EHKQ′θ. -ὀρθρίοισι om. vulg. -χρῆσθαι θ. —[4] γυμν. ὅστις ἐπιγυμνάζεται (ἔτι γυμνάζεται citat Mack) σ. π. τὴν ἀγωγὴν τῶν σίτων (ἀγαγὴν τῶν σιτίων citat Mack) θ. —[5] ὑπεναντιωθὲν EHKQ′, Lind. -ὑπεναντίον θ. -τὸ pro τὸν Ald. -τῶν σίτων θ. -Mack dit que θ a σιτίων. —[6] τὸ pro τοῦτο EFGHIK, Ald. -προσαγάγου EHθ. -πάλιν om. EP′. -εἰς E. -ἐπὶ sine τὰς θ. -πένθ' EHθ. -πιέζει Q′, Lind. -χρήσθω, al. manu χρεέσθω H. —[7] κ. τ. θ. εὐχ. om. (H, restit. al. manu) θ. -θεοῖς FGIJ. -αὐτῷ om. (H, restit. al. manu) θ. -Post ταραχὴ addunt καὶ τοῖσι θεοῖσιν εὔχεσθαι Hθ. —[8] δὲ om. θ. -ἄστρα θ, Mack. -καθαρύϊα (sic) P′. -καθαροὺς E. -εὐαγῆ (H, al. manu έα) θ. -ὁραιόμενα θ. -ὁρώμενα vulg. -ὑγιείην Gθ, Ald. —[9] τὴν om. θ. -D'après Mack θ a παρεούσῃ; ma collation n'en dit rien. —[10] ἰσχυροτέρων θ, Mack. -ἰσχυρῶν vulg. —[11] καὶ om. EHKP′θ. —[12] οὖν om. J. -δοκέοι θ. -τουτέων (al. manu τούτων H), Mack. -τουτέων om. θ. -τῶν EG (H, al. manu) IJθ, Ald., Zwing., Lind., Mack. -τῶν om. vulg. -τῶν ἄστρων τούτων δοκοίη K. -σβέννυσθαι ἢ om. (H, restit. al. manu) θ. —[13] ἐπίσχεσθαι E (H, al. manu ἐπέχεσθαι) KP′, Mack. -ἀπέχεσθαι Zwing. -Post περιόδου addit κατ' αὐτὸ

cela signale un trouble dans le corps ; si ce trouble est fort, fort est le mal ; s'il est faible, le mal est plus faible. Quant à l'action sur laquelle on rêve, faut-il ou non en détourner ? c'est ce que je ne juge pas ; mais je conseille de traiter le corps ; car une plénitude quelconque s'est amassée, et il en est résulté une sécrétion qui a troublé l'âme. Si donc ce qui contrarie est considérable, il convient de vomir, puis, pendant cinq jours, d'augmenter progressivement la nourriture par des aliments légers, d'user de promenades du matin considérables et rapides en suivant une gradation, et de faire des exercices en proportion avec l'alimentation croissante. Si ce qui contrarie est plus faible, on s'abstient du vomissement, on retranche le tiers des aliments, puis pendant cinq jours on augmente graduellement la nourriture. On insiste sur les promenades, on use des exercices de la voix, on invoque les dieux, et le trouble s'apaise.

89. (*Des songes dans lesquels on voit quelque phénomène céleste.*) Voir le soleil, la lune, le ciel et les astres purs, agiles, et chacun suivant son mode d'être, est favorable ; cela promet au corps santé de la part de tout ce qui y est ; il faut maintenir cette disposition en maintenant le régime actuel. Voir quelque chose de contraire, annonce quelque maladie, plus forte s'il s'agit d'influences plus fortes, plus légère s'il s'agit d'influences plus faibles. Aux astres appartient la révolution extérieure, au soleil la révolution intermédiaire, à la lune la révolution vers les parties creuses. Quel que soit celui de ces astres qui paraît ou s'éteindre ou être lésé ou disparaître ou être arrêté dans sa révolution, si c'est par un brouillard ou un nuage, l'influence est plus faible ; si

τὸ μέρος καὶ τὴν νοῦσον προσγίνεσθαι (περιγίνεσθαι Ald.), καὶ vulg. – κατ'.... καὶ om. (H, restit. al. manu) θ. – Cette suppression me semble indispensable. — [14] τὴν pro καὶ ἣν θ. – Mack dit qu'il y a κῆν. – ὑπ' EHKθ. – ἀπὸ J. – ἠέρος θ. – ἀέρος vulg. – ὁρᾷ om. (H, restit. al. manu) θ. – ὁρῆ E. – ὁρᾶται Zwing., Mack. – τι τῶν ἄστρων τούτων πάσχον om. θ. — [15] εἰ EHKQ'θ. – καὶ pro ὑπὸ EHKQ'θ. – ὑπὸ om. GJ, Ald. – ἐν τῷ σώματι ἀπόκρισιν K. – ὑγρὴν θ, Lind., Mack. – ὑγρὰν vulg. – γινομένην, al. manu γεν H.

δὲ ἀπόκρισιν ἐν τῷ σώματι ὑγρὴν καὶ φλεγματώδεα γενομένην, ἐς τὴν [1]ἔξω περιφορὴν ἐσπεπτωκέναι. Ξυμφέρει τοιγαροῦν τούτῳ τοῖσί τε δρόμοισιν ἐν [2]τοῖσιν ἱματίοισι κεχρῆσθαι πολλοῖσιν, ἐξ ὀλίγου προσάγοντα, ὅκως ἐξιδρώσει ὡς μάλιστα, καὶ τοῖσι περιπάτοισιν ἀπὸ τοῦ γυμνασίου πολλοῖσι· καὶ [3]ἀναρίστον διάγειν· τῶν τε σιτίων ἀφελόμενον τὸ τρίτον μέρος προσάγειν ἐς πέντε ἡμέρας· εἰ δὲ δοκοίη ἰσχυρὸν εἶναι, καὶ [4]πυριῆσαι· τὴν γὰρ κάθαρσιν διὰ τοῦ [5]χρωτὸς ξυμφέρει ποιέεσθαι, διότι ἐν τῇ ἔξω περιφορῇ ἐστι τὸ βλάβος· τοῖσι δὲ [6]σιτίοισι χρῆσθαι ξηροῖσι, δριμέσιν, αὐστηροῖσιν, ἀκρήτοισι, καὶ τοῖσι πόνοισι τοῖσι ξηραίνουσι μάλιστα. [7]Εἴ τι δὲ τούτων ἡ σελήνη πάσχοι, εἴσω τὴν ἀντίσπασιν ποιέεσθαι ξυμφέρει, ἐμέτῳ [8]χρησάμενον ἀπὸ τῶν δριμέων καὶ ἁλμυρῶν καὶ μαλακῶν σιτίων. Τοῖσι [9]δὲ τῆς φωνῆς πόνοισι, καὶ ἀναριστίῃσι, [10]καὶ τοῦ σίτου τῇ ἀφαιρέσει, καὶ προσαγωγῇ ὡσαύτως· [11]διὰ τοῦτο δὲ εἴσω ἀντισπαστέον, διότι πρὸς τὰ κοῖλα τοῦ σώματος [12]τὸ βλαβερὸν ἐφάνη. Εἰ δὲ ὁ ἥλιος τοιοῦτό τι πάσχει, ἰσχυρότερον τοῦτο ἤδη καὶ δυσεξαγωγότερον· δεῖ δὲ ἀμφοτέρως τὰς ἀντισπάσιας ποιέεσθαι καὶ τοῖσι δρόμοισι τοῖσί τε καμπτοῖσι [13]καὶ τροχοῖσι χρῆσθαι καὶ τοῖσι περιπάτοισι καὶ τοῖσιν ἄλλοισι πόνοισὶ πᾶσι, τῶν [14]δὲ σίτων τῇ ἀφαιρέσει καὶ τῇ προσαγωγῇ ὡσαύτως· ἔπειτα ἐξεμέσαντα αὖθις προσάγειν πρὸς τὰς πέντε. Εἰ [15]δὲ αἰθρίης ἐούσης θλίβεται καὶ ἀσθενέα δοκέει εἶναι καὶ ὑπὸ τῆς ξηρασίης τῆς περιόδου κρατέεσθαι, σημαίνει κίνδυνον ἐς

[1] Ἔξω Zwing., Foes in not., Lind., Mack. – ἔσω vulg. – La suite montre qu'il faut lire ἔξω. Mack dit que θ a ἔξω, ma collation n'en dit rien. – ἐσπεπτωκέναι θ, Mack. – ἐμπεπτωκέναι vulg. – δὲ pro τοιγαροῦν EHKP'θ, Mack. — [2] τισιν Q'. – τοῖσιν om. Lind. – πᾶσιν pro τοῖσιν Ald. – χρῆσθαι EHKθ. – ὅπως θ. – ἐξιδρώσῃ vulg. – πολλοῖσί [τε] καὶ Lind. — [3] ἀνάριστον διάγειν (χρέεσθαι Mack) θ. – ἀναρίστοισι χρῆσθαι (διάγειν, al. manu χρῆσθαι H) vulg. – τῶν δὲ σίτων ἀφελόμενον θ. – ἀφελόμενος vulg. – εἰς EHK. – πένθ' θ. – ἰσχυρότερον θ. — [4] πυρίῃ χρῆσθαι EHKP' (θ, πυριήσει), (Lind., χρέεσθαι). — [5] χρωτὸς θ, Mack. – χρώματος vulg. – συμφέρει θ. — [6] σίτοισι θ. – χρέεσθαι Lind., Mack. – ἀκρίτοισι θ. — [7] εἰ δέ τι θ. – πάσχει EGK. – παράσχοι, al. manu πάσχοι H. – ποιέεσθαι θ, Lind., Mack. – ποιεῖσθαι vulg. – συμφέρει θ. — [8] χρῆσθαι θ. – χρέεσθαι, d'après Mack. – σιτίων μαλακῶν J. – Post σιτίων addit τοῖσι δὲ τροχοῖσιν (τροχέσιν J) ὀξέσι καὶ τοῖσι περιπάτοισιν ὀξέσι (καὶ τοῖσι περ. ὀξέσι om. FGIJ) vulg. – τοῖσι δὲ τρ. ὀξ. κ. τ. π. ὀξ. om. θ. – D'après Mack ce membre de phrase ne manque pas dans θ ; mais on y lit en place : τοῖσί τε πόνοισιν ὀξέσι καὶ τοῖσι περιπάτοισι. Toutefois cette suppression me paraît bonne ; car il s'agit de faire la révulsion à l'intérieur et non à l'extérieur.

c'est par de l'eau ou de la grêle, l'influence est plus forte ; en tout cas c'est l'annonce qu'une sécrétion humide et phlegmatique, s'étant faite dans le corps, est tombée à la surface extérieure. Dans ce cas conviennent les courses en habit, considérables, augmentées graduellement, afin que l'on sue autant que possible, les promenades considérables après le gymnase, la suppression du déjeuner, le retranchement du tiers des aliments, auxquels on reviendra par gradation en cinq jours. Si l'influence paraît forte, on aura recours aux étuves, car il importe de faire la purgation par la peau puisque le mal est dans la surface extérieure. On usera des aliments secs, âcres, astringents, non tempérés, et des exercices qui dessèchent surtout. Est-ce la lune qui offre quelqu'une de ces apparences? on fera la révulsion vers l'intérieur : vomissement avec des aliments âcres, salés et mous, exercices de la voix, suppression du déjeuner, même retranchement des aliments et même accroissement graduel. La révulsion doit être à l'intérieur, parce que le mal s'est montré vers les parties creuses du corps. Est-ce le soleil? cela est déjà plus puissant et plus difficile à expulser. On fera les révulsions des deux côtés : courses recourbées, courses au cerceau, promenades, et tous les genres d'exercices gymnastiques ; même retranchement des aliments, même accroissement graduel ; puis vomissement, et derechef augmentation graduelle des aliments pendant les cinq jours. Si, le temps étant serein, les astres paraissent être comprimés, affaiblis et surmontés par la sécheresse de la révolution, c'est l'indice d'un danger de maladie ; on diminuera

—[9] τε pro δὲ EH. —[10] καὶ om. EGHIJKθ, Ald. - τουτέοισι pro τοῦ σίτου θ. —[11] διὰ.... ὡσαύτως om. FGIJ. —[12] τὸ θ, Mack. - τὸ om. vulg. - τι om. θ, Mack. - πάσχοι θ. - ποιέεσθαι θ, Lind., Mack. - ποιεῖσθαι vulg. —[13] καὶ K'θ, Mack. - καὶ om. vulg. —[14] τε pro δὲ EHKθ. - αὖτις (H, al. manu αὖθις) θ. —[15] δ' ἐθρίης ἐούσης θλίβηται καὶ ἀσθένεια δοκῇ θ. - δ' EHK. - οὔσης vulg. - δοκοίη vulg. - δοκέει EH. - δοκεῖ K. - καὶ Zwing. in marg. - καὶ om. vulg. - L'addition de ce καὶ, proposée par Zwing., me paraît la véritable correction. - καὶ τῆς περιόδου Vatic. Codd. ap. Foes in not., Lind., Mack. - καὶ, introduit ici, ne remédie en rien à la difficulté qu'offre le texte de vulg. - ἐς EHJK, Lind. - εἰς vulg.

νοῦσον πεσεῖν· ἀλλὰ χρὴ [1] τῶν πόνων ἀφαιρέειν, τῇ τε διαίτῃ ὑγροτέρῃ καὶ μαλακῇ χρέεσθαι, [2] καὶ λουτροῖσι καὶ ῥᾳθυμίῃ πλείονι, καὶ ὕπνῳ πολλῷ, μέχρις ἂν καταστῇ. Εἰ δὲ [3] πυροειδὲς δοκοίη εἶναι τὸ ἐναντιούμενον καὶ θερμὸν, χολῆς ἀπόκρισιν σημαίνει· [4] εἰ μὲν οὐ κρατοίη τὰ ὑπάρχοντα, νοῦσον σημαίνει· εἰ δὲ καὶ ἀφανίζοιτο τὰ [5] κρατεύμενα, κίνδυνος ἐς θάνατον ἐκ τῆς νούσου ἐλθεῖν. Εἰ δὲ [6] τρεφθῆναι δοκοίη ἐς φυγὴν τὸ ὑπάρχον, φεύγειν δὲ ταχέως, [7] τοὺς δὲ διώκειν, κίνδυνος μανῆναι [8] τὸν ἄνθρωπον, ἢν μὴ θεραπευθῇ. Ξυμφέρει δὲ τούτοισι πᾶσι μάλιστα μὲν ἐλλεβόρῳ καθαρθέντας διαιτῆσθαι· [9] ἢν δὲ μὴ, τῇ πρὸς ὕδατος διαίτῃ χρῆσθαι ξυμφέρει, οἶνον δὲ μὴ πίνειν· [10] εἰ δ' οὖν, λευκὸν, λεπτὸν, μαλακὸν, ὑδαρέα· ἀπέχεσθαι δὲ δριμέων, ξηραντικῶν, θερμαντικῶν, ἁλμυρῶν· πόνοισι δὲ τοῖσι κατὰ φύσιν πλείστοισι [11] χρέεσθαι καὶ δρόμοισιν ἐν ἱματίῳ πλείστοισι· τρίψις δὲ μὴ ἔστω, μηδὲ πάλη, μηδὲ ἀλίνδησις· [12] ὕπνοισι πολλοῖσι μαλακευνείτω, καὶ ῥᾳθυμείτω πλὴν τῶν κατὰ φύσιν πόνων· ἀπὸ [13] δὲ τοῦ δείπνου περιπατείτω· ἀγαθὸν δὲ καὶ πυριῆσθαι· ἐμέειν δ' ἐκ τῆς πυριῆς· τριήκοντα δὲ ἡμερέων μὴ πληρωθῇ· ὅταν δὲ πληρωθῇ, [14] δὶς ἐν τῷ μηνὶ ἐμεσάτω ἀπὸ τῶν γλυκέων καὶ ὑδαρέων καὶ κούφων. Ὁκόσα δὲ τούτων πλανᾶται [15] ἄλλοτε ἄλλῃ μὴ ὑπ' ἀνάγκης, ψυχῆς τινα τάραξιν σημαίνει ὑπὸ μερίμνης· [16] ξυμφέρει δὲ τούτῳ ῥᾳθυμῆσαί

[1] Τὸν πόνον al. manu, erat prius τῶν πόνων H. – τῇ τε διαίτῃ τῇ ὑγροτάτῃ sine καὶ μαλακῇ θ. – χρέεσθαι, καὶ om., restit. al. manu H. — [2] τοῖσί τε λουτροῖσι θ. – καὶ ὕπνοισι μέχρι καταστῇ θ. – ὕπνοισι pro ὕ. πολλῷ EK. – μέχρι sine ἂν, al. manu μέχρις ἂν H. – καταστήσῃ vulg. — [3] πυρροειδὲς (H, al. manu, erat prius πυρο) J. – δοκοίη (δοκέοι θ; δοκέει E) εἶναι scribuntur ante καὶ EHKθ. – ὑπεναντιώμενον (H, al. manu ού) θ. – ὑπεναντιούμενον E. — [4] εἰ.... σημαίνει θ. – εἰ.... σημαίνει om. vulg. — [5] κρατεύμενα θ, Mack. – κρατούμενα vulg. – νούσου EHIKθ, Lind., Mack. – νόσου vulg. — [6] τραφῆναι, al. manu τρεφθῆναι H. – δοκέοι θ. – Ante ἐς addit τραπῆναι (H, al. manu, erat prius τραφῆναι) vulg. – τραπῆναι om. θ, Mack. – φεύγει, al. manu ειν H. — [7] ἀστέρας pro τοὺς Codd. quidam ap. Foes in not. — [8] καὶ τὸν E. – συμφέρει θ, Mack. – μάλιστα EHIJQ'θ, Zwing. in marg., Mack. – κάλλιστα vulg. – καθαρθέντας θ, Vatic. Codd. ap. Foes in not., Zwing., Mack. – κρατηθέντας vulg. – ἐκδιαιτῆσθαι E (H, al. manu διαιτῆσθαι) Kθ. – διαιτεῖσθαι J. — [9] εἰ EHKθ. – ξυμφέρει χρῆσθαι EHK (συμφέρει, θ). – χρέεσθαι συμφέρει Mack. – χρέεσθαι Lind. – συμφέρει IJ. — [10] εἰ δὲ (δὲ om. θ, Mack) μὴ pro εἰ δ' οὖν EHKθ, Zwing. in marg., Mack. – λεπτὸν λεπτὸν pro λ. λ. I. – λευκὸν om. GJ. – ὑδαρέα θ. – ὑδαρῆ vulg. – θερμῶν pro θερμαντικῶν, et scribitur ante δριμέων θ. — [11] χρήσθω θ. – χρεέσθω J. – χρεέσθω δὲ καὶ EHK. – ἱματίοισι (H, al. manu, erat prius ἱματίῳ) KP'Q', Lind., Mack. – τρίψεις θ. —

les exercices, on usera d'un régime mou et plus humide, de bains, de plus d'inaction, de beaucoup de sommeil, jusqu'à ce que le mal disparaisse. Si ce qui contrarie est d'apparence ignée et chaud, c'est l'annonce d'une sécrétion bilieuse; si les parties intégrantes du corps ne triomphent pas, c'est l'annonce d'une maladie; si les parties vaincues semblent même disparaître, c'est l'annonce que la maladie fera courir un danger de mort. Si ce qui est dans le corps semble être mis en fuite, et fuir rapidement, poursuivi par les astres, il y a danger de délire, à moins que le traitement n'intervienne. Il convient, dans tous ces cas, surtout d'évacuer par l'ellébore et de mettre au régime; sinon, on prendra le régime de l'eau, on ne boira pas de vin, ou, si on en boit, il sera blanc, léger, mou, aqueux. On s'abstiendra des substances âcres, desséchantes, échauffantes, salées. On usera surtout des exercices naturels; beaucoup de courses en habit; point de frictions; point de lutte; point de lutte sur la poussière; beaucoup de sommeil et sur un coucher mollet; du repos, si ce n'est pour les exercices naturels; des promenades après le dîner. Il est bon aussi d'user d'étuves. On vomira après l'étuve. De trente jours, on ne mangera à son plein appétit, et, quand on s'y sera remis, on vomira deux fois dans le mois avec des aliments doux, aqueux et légers. Quand ces astres paraissent errer çà et là sans rien qui les force, cela indique une certaine perturbation de l'âme par l'effet de soucis; il convient de se reposer et de tourner l'âme vers les spectacles, surtout vers ceux qui provoquent le rire; sinon, vers ceux que le sujet a le plus de

[12] ὕπνοισι (addunt πολλοῖσι θ, Mack) μαλακοῖσι εὐδεέτω (μαλακυπνεύτω F; μαλακυγνεύτω sic G; μαλακυνεύτω HIJK, Ald.; μαλακευνείτω θ, Zwing. in marg. vel μαλακοῖσι εὐνείτω, Lind., Mack; μαλακοῖσιν εὐνείτω EQ') vulg. – καὶ om., restit. al. manu H. – ῥαθυμήτω I. – ῥαθυμέτω (sic) G. – Ante τῶν addit ἐκ θ. — [13] δὲ τοῦ om. EHKθ. – πυριᾶσθαι καὶ ἐμέειν ἐκ θ. – τριάκοντα EIJK. – δ' EHK. — [14] τρὶς (H, al. manu δὶς) θ. – ὑδαρέων EHIθ, Mack. – ὑδαρῶν vulg. — [15] ἄλλοις ἄλλως sine μὴ ὑπ' ἀνάγκης θ. – ὑπὸ H. – τάραξίν τινα θ. — [16] συμφέρει δὴ θ. – τε om. EJK, Ald. – τε καὶ om. (H, καὶ restit. al. manu) θ. – τρέψαι EFG (H, al. manu, erat prius τραπῆναι) IJK, Lind., Mack. – τραπέσθαι θ. – θρέψαι Codd. Vatic. ap. Foes in not.

τε καὶ τὴν ψυχὴν τραπῆναι [1]πρὸς θεωρίας, μάλιστα μὲν πρὸς τὰς φερούσας γέλωτας, εἰ δὲ μὴ, ὅ τι μάλιστα ἡσθήσεται θεησάμενος, ἡμέρας δύο ἢ τρεῖς, καὶ καταστήσεται· εἰ δὲ μὴ, κίνδυνος ἐς νοῦσον πίπτειν. Ὅ τι δ' [2]ἂν ἐκ τῆς περιφορῆς ἐκπίπτειν δοκέῃ τῶν ἄστρων, ὁκόσα μὲν καθαρὰ καὶ λαμπρὰ καὶ [3]πρὸς ἕω δοκέει φέρεσθαι, ὑγείην σημαίνει· [4]ὅ τι γὰρ ἐν τῷ σώματι καθαρὸν ἐὸν ἐκκρίνεται ἐκ τῆς περιόδου κατὰ φύσιν ἀφ' ἑσπέρας [5]πρὸς ἠῶ, ὀρθῶς ἔχει· καὶ γὰρ τὰ ἐς τὴν κοιλίην ἀποκρινόμενα καὶ τὰ ἐς τὴν σάρκα ἀπερευγόμενα ἅπαντα [6]ἐκ τῆς περιόδου ἐκπίπτει. Ὅ τι δ' ἂν τούτων μέλαν καὶ ἀμυδρὸν καὶ πρὸς ἑσπέρην δοκέῃ φέρεσθαι, ἢ ἐς [7]τὴν θάλασσαν ἢ ἐς τὴν γῆν [8]ἢ ἄνω μᾶλλον, ταῦτα σημαίνει τὰς νούσους· τὰ μὲν ἄνω φερόμενα ῥεῦμα κεφαλῆς ἐστι δηλοῦντα· [9]ὁκόσα δὲ ἐς θάλασσαν, κοιλίης νουσήματα· [10]ὁκόσα δὲ ἐς γῆν, φύματα μάλιστα σημαίνει τὰ ἐν τῇ σαρκὶ φυόμενα. Τούτοισι [11]ξυμφέρει τὸ τρίτον μέρος τοῦ σίτου ἀφελέσθαι, ἐμέσαντας δὲ προσάγειν ἐς ἡμέρας πέντε, ἐν ἄλλῃσι δὲ [12]πέντε κομίσασθαι τὰ σιτία πάντα· καὶ [13]ἐμέσας πάλιν προσαγέσθω κατὰ τὸν αὐτὸν τρόπον. Ὅ τι δ' [14]ἂν τῶν οὐρανίων ἐφέζεσθαι δόξῃ σοι καθαρὸν μὲν καὶ ὑγρὸν ἐὸν, ὑγιαίνειν σημαίνει, διότι ἐκ τοῦ αἰθέρος [15]ἐς τὸν ἄνθρωπον καθαρὸν κατελθόν ἐστι, τοιοῦτον [16]δὲ καὶ ἡ

[1] Καὶ πρὸς H. – θεωρίαν Lind. – γελοίας pro φερούσας γελ. EH (γελοίους, P'θ). – γελοῖον pro γελῶτας Codd. quidam ap. Foes in not. – Ante ὅ τι addit ἄλλας τινὰς θ. – θεησάμενος θ. – θεασάμενος vulg. – τρὶς θ. — [2] ἢν EH. – περιφορᾶς θ. – λαπρὰ, al. manu λαμπρὰ H. — [3] προσεω (sic) θ. – πρόσω vulg. – πρὸς ἕω Zwing. in marg., Mack. – δοκέῃ EK. – δοκεῖ vulg. – φέρεται pro δ. φέρεσθαι θ. – φέρεται καὶ ὑγείην, al. manu δοκέει φέρεσθαι, ὑγείην H. — [4] ὅ τι δ' ἂν ἐν τ. σ. κ. ἐνεὸν ἐκκρίνηται θ. – ἐκκρ. om. J. – ἐκκρίνηται E (H, al. manu, erat prius ἐκκρίνεται). — [5] προσῆ pro πρὸς ἠῶ EH. – προς ἢ GIJ, Ald., Frob. (Zwing. in textu, πρὸς ἕω in marg.). – πρὸς ἠῶ ὄρθρον Codd. quidam ap. Foes in not. – ἕω Lind., Mack. – γὰρ om. GIJ. – ἐς τὴν κοιλίην θ, Codd. Vatic. ap. Foes in not., Lind., Mack. – ἐν τῇ κοιλίῃ vulg. – πάντα θ. — [6] ἀπὸ FGIJ. — [7] τὴν om. θ. – θάλατταν HK. — [8] ἢ om. θ. – μᾶλλον om. θ. – ταύτας pro ταῦτα J. – νούσους EHKθ, Lind., Mack. – νόσους vulg. – κεφαλῆς ῥεύματα EHIKθ, Mack. – ἐστι δηλ. om. EHKθ. – δηλῶντα Frob., Zwing., Mack. – δῆλον FGJ, Ald. — [9] ὅσα δ' ἐς θ. – θάλατταν EHK. – νοσήματα EHKθ. — [10] ὅσα Eθ. – δ' E. – ἐς τὴν γῆν EHK. – ἐκφύματα (ἐς φύματα EFGHIK, Ald.) vulg. – φύματα Jθ. — [11] συμφέρει θ. – ἐμέσαντας Iθ, Mack. – ἐμέσαντα vulg. — [12] πέντε om., restit. al. manu ε E. – τὸ σιτίον ἅπαν EFHIJK (θ, sine ἅπαν). – D'après Mack θ a τὰ σιτία. — [13] ἐμέσας EHP'Q'θ. – ἐμέσαντα vulg. – ἐμέσαντας Mack. – προσάγεσθαι Lind. – κατὰ τὸ αὐτὸ θ. – τρόπον om., restit. al. manu H. — [14] ἢν, al. manu ἂν H. – τῶν οὐρανίων θ, Mack. – τούτων οὐρα-

plaisir à voir, pendant deux ou trois jours, et cela s'apaisera ; au cas contraire, il y a danger de tomber malade. Quand quelqu'un des astres semble s'échapper de la voie circulaire, s'ils sont purs, brillants et paraissent être portés vers l'orient, c'est une annonce de santé ; car ce qui, étant pur dans le corps, s'échappe de sa voie circulaire par un mouvement naturel (or, le mouvement naturel est d'occident en orient), cela, dis-je, est régulier; et le fait est que toute chose amenée par sécrétion dans le ventre ou portée par une sorte d'éructation dans les chairs s'échappe de la voie circulaire. Quant à ce qui dans le ciel paraît noir, obscur ou allant vers l'occident, ou vers la mer ou vers la terre ou vers la région supérieure, c'est annonce de maladies : vers la région supérieure, annonce de catarrhes de la tête ; vers la mer, annonce d'affections abdominales ; vers la terre, annonce de tumeurs formées surtout dans la chair. Dans ces cas il convient de retrancher le tiers des aliments, de vomir, puis d'accroître graduellement la nourriture pendant cinq jours et de revenir en cinq autres jours à la totalité des aliments ; alors de vomir et de repasser par la même série. Quand un corps céleste, étant pur et humide, paraît se poser sur vous, c'est l'indice de la santé, parce que c'est quelque chose de pur qui descend de l'éther en l'homme, et que, de fait, l'âme le voit tel qu'il pénètre. Mais si ce corps céleste est noir et n'est ni pur ni diaphane, cela indique une maladie non par plénitude, non

νίοισιν vulg. – δόξῃ σοι ἐφέζεσθαι EHK. – δόξῃ (sine σοι) ἐφίζεσθαι θ (Mack, ἐφέζεσθαι). – δόξει vulg. – μὲν θ, Mack. – μὲν om. vulg. – ἠέρος pro αἰθέρος Zwing. in marg. — [15] D'après Mack θ ajoute τὸ devant ἐς ; ma collation n'en dit rien. – ἐς τὸν ἄνθρωπον κατελθόν ἐστι vulg. – ἐς τὸν ἄνθρωπον καθαρόν ἐστι E (H, al. manu κατελθόν) θ. – Il faut prendre à la fois καθαρὸν et κατελθόν. Dans un des textes καθαρὸν a disparu, dans l'autre c'est κατελθὸν, à cause que les deux mots commencent par κα. Au reste καθαρὸν est nécessaire, comme l'indique τοιοῦτον du membre de phrase qui suit. — [16] δὲ ὁρῇ καὶ ἡ ψυχὴ EP'Q', Lind. – ὁρᾷ vulg. – ἐσῆλθεν θ. – ἐσέλθῃ vulg. – ἢν pro ἂν EHQ'. – μέλας Q'. – μηδὲ ἀφανὲς vulg. – μηδὲ (ἢ pro μηδὲ Lind.) διαφανὲς EHIJKQ'θ, Zwing., Lind., Mack. – μὴ διαφανὲς Foes in not. – μὴ ἐμφανὲς scribit Scaliger. – πλεισμονὴν θ. – ἐπαγωγῇ θ, Mack. – ἐπαγωγῆς vulg.

ψυχὴ ὁρῇ οἷόν περ ἐσῆλθεν· ὅ τι δ' ἂν μέλαν ᾖ καὶ μὴ καθαρὸν μηδὲ διαφανὲς, νοῦσον σημαίνει, οὔτε διὰ πλησμονὴν οὔτε διὰ κένωσιν, ἀλλ' ἔξωθεν ἐπαγωγῇ. [1]Ξυμφέρει δὲ τούτῳ τροχοῖσιν ὀξέσι κεχρῆσθαι, ὅκως σύντηξις μὲν ὡς ἐλαχίστη τοῦ σώματος γένηται, πνεύματι δὲ ὡς πυκνοτάτῳ χρησάμενος ἐκκρίνῃ τὸ παρελθόν· ἀπὸ δὲ τῶν τροχῶν περιπάτοισιν ὀξέσιν· [2]ἡ δὲ δίαιτα μαλακὴ καὶ κούφη προσαχθήτω ἐς ἡμέρας τέσσαρας. Ὅ τι δ' [3]ἂν παρὰ θεοῦ δοκέῃ λαμβάνειν καθαροῦ καθαρὸν, ἀγαθὸν πρὸς ὑγείην· σημαίνει γὰρ τὰ ἐσιόντα ἐς τὸ σῶμα εἶναι καθαρά. Ὅ τι δ' [4]ἂν τούτου τὸ ἐναντίον δοκέῃ ὁρῆν, οὐκ ἀγαθόν· νοῦσον γὰρ ἐς τὸ σῶμα σημαίνει ἐσεληλυθέναι· χρὴ οὖν [5]ὡς τὸν πρότερον θεραπευθῆναι καὶ τοῦτον. Εἰ δὲ δοκοίη ὕεσθαι ὕδατι [6]μαλθακῷ ἐν εὐδίῃ, καὶ μὴ σφόδρα βρέχεσθαι, μηδὲ δεινῶς χειμάζειν, ἀγαθόν· σημαίνει γὰρ σύμμετρον καὶ καθαρὸν τὸ πνεῦμα ἐκ τοῦ ἠέρος ἐληλυθέναι. Εἰ δὲ τούτων τἀναντία, σφόδρα ὕεσθαι καὶ χειμῶνα καὶ ζάλην εἶναι, ὕδατί τε μὴ καθαρῷ, [7]νοῦσον σημαίνει ἀπὸ [8]τοῦ πνεύματος τοῦ ἐπακτοῦ· ἀλλὰ χρὴ καὶ τοῦτον ὡσαύτως διαιτηθῆναι, σιτίοισί τε ὀλίγοισι πάντας τούτους. Περὶ μὲν [9]οὖν τῶν οὐρανίων σημείων οὕτω χρὴ γινώσκοντα προμηθέεσθαι καὶ ἐκδιαιτῆσθαι καὶ τοῖσι θεοῖσιν εὔχεσθαι, ἐπὶ μὲν τοῖσιν ἀγαθοῖσιν Ἡλίῳ, Διὶ οὐρανίῳ, Διὶ κτησίῳ, [10]Ἀθηνᾷ κτησίῃ, Ἑρμῇ, Ἀπόλλωνι, ἐπὶ δὲ τοῖσιν ἐναντίοισι τοῖσιν ἀποτροπαίοισι, καὶ Γῇ [11]καὶ ἥρωσιν, ἀποτρόπαια γενέσθαι τὰ χαλεπὰ πάντα.

90. Προσημαίνει δὲ καὶ τάδε πρὸς ὑγείην, [12]τῶν ἐπὶ γῆς ὀξὺ ὁρῆν

[1] Σ. IJθ, Mack. – χρῆσθαι EHKθ. – χρέεσθαι Lind., Mack. – D'après Mack θ a χρέεσθαι. – μὲν EQ'θ, Lind., Mack. – μὲν om. vulg. — [2] τῇ διαίτῃ μαλακῇ κούφῃ (H, al. manu ἡ δὲ δίαιτα) θ. — [3] ἢν EH. – λαμβάνειν παρὰ θεοῦ δοκῇ (δοκέῃ Lind.) καθαρὸν vulg. – παρὰ θεοῦ δοκῇ (δοκέῃ θ) λαμβάνειν καθαροῦ καθαρὸν EHKθ. – D'après Mack θ a λαμβάνει. – εἰσιόντα HK. – εἰς HK. – τὰ ἐς τὸ σῶμα εἰσιόντα θ. — [4] ἢν EH. – τὸ om. θ. – ὁρῆν δοκέῃ θ. – δοκῇ vulg. – δοκέῃ Lind. – ὁρῆν E, Lind., Mack. – ὁρᾷν vulg. – νοῦσον J, Lind., Mack. – νόσον vulg. – νοσηρὸν γάρ τι θ. – σημαίνει ἐς τὸ σῶμα ἐσηλελυθέναι EH (K, εἰσελ.) θ. – ἐληλυθέναι σημαίνει J. – ἐληλυθέναι vulg. — [5] ὥσπερ K. – ὡς om. EFGH, Ald. – ἐκθεραπευθῆναι Kθ. – ὥσπερ ἐκθεραπευθῆναι pro θερ. EH. — [6] μαλακῷ E (H, al. manu μαλθακῷ) Kθ. – εὐδία EHK. – ἐληλυθέναι θ. – εἰσεληλυθέναι vulg. – τὰ ἐναντία θ. — [7] νοῦσον θ, Lind., Mack. – νόσον vulg. — [8] τοῦ EFGHIJθ, Lind. – τοῦ om. vulg. – ἐπεισάκτου Lind. – ἐπ' αὐτοῦ pro ἐπακτοῦ Ald. – σίτοισι δὲ ὀλ. παντελῶς τοῦτον θ. — [9] οὖν EHK, Lind. – οὖν om. vulg. – D'après Mack θ a οὖν; ma collation n'en dit rien. – Post σημείων addit ἄστρων vulg. – καὶ ἄστρων legendum, aut ἄστρων omittendum

par déperdition, mais par quelque afférence extérieure. En ce cas il convient d'user de courses au cerceau rapides, afin que, d'une part, il y ait le moins possible de colliquation du corps, et que d'autre part, la respiration devenant très-fréquente, ce qui est venu par afférence soit expulsé. Après la course au cerceau, promenades accélérées; régime mou et léger pendant quatre jours. Quoi que ce soit que l'on semble prendre pur d'un dieu pur, cela est favorable pour la santé; car c'est l'indice de la pureté de ce qui est introduit dans le corps; mais ce que l'on croit voir d'apparence contraire, n'est pas favorable; car cela annonce que la maladie est arrivée dans le corps. Même traitement que précédemment. Si l'on croit voir tomber une ondée douce par un temps calme, sans pluie à verse ni violent orage, cela est bon; car c'est l'indice que le souffle est venu, pur et en juste mesure, de l'air. Mais si l'on voit le contraire, pluie forte, orage, tourmente, averse d'une eau impure, cela annonce maladie par l'effet du souffle introduit. On emploiera, ici aussi, le même régime; peu d'aliments pour tous ces cas. Ainsi, se faisant une telle idée des signes célestes, on prendra ses précautions, on suivra le régime indiqué, et l'on priera les dieux; pour les bons signes, le Soleil, Jupiter céleste, Jupiter enrichissant, Minerve enrichissante, Hermès, Apollon; pour les signes contraires, les dieux qui détournent, la Terre, les Héros, afin que tous maux soient détournés.

90. (*Songes relatifs à des objets terrestres.*) Voici encore des signes favorables : apercevoir et entendre nettement ce qui est sur la terre, marcher sûrement, courir sûrement et

Zwing. in marg. – ἄστρων om. θ, Mack. – γινώσκοντα χρὴ EIJKθ. – ἐκδιαιτεῖσθαι J. – ἐνδιαιτῆσθαι θ. – τοῖσι θεοῖσιν EHKθ, Mack. – τοῖς θεοῖς vulg. — [10] ἀθηνῆ al. manu, erat prius ἀθηνᾶ H. – ἀθηναίη EKQ', Lind., Mack. – ἀποτροπαίοισι θ, Foes ex conject. in not., Lind., Mack. – ἀποτροπίοισι vulg. – καὶ om. θ. — [11] καὶ om. θ. – ἀποτροπέα εἶναι τὰ EH. – ἀποτρόπεα IK. – ἀποτρόπαια τὰ χαλεπὰ εἶναι παντὰ θ. — [12] τῶ ἐπίσης, al. manu τῶν ἐπὶ γῆς E. – τῶν ἐπίσης IJK, Lind. – τῶν ἐπιστῆς Q'. – ὀξὺ ὁρῆν καὶ ὀξὺ ἀκούειν θ. – καὶ τρέχειν ἀσφαλῶς om. FGJ. – Ante ἄτερ addit ταχὺ θ.

καὶ ἀκούειν, ὁδοιπορέειν τε ἀσφαλῶς καὶ τρέχειν ἀσφαλῶς καὶ ἄτερ φόβου, καὶ τὴν γῆν [1]ὁρῇν λείην καὶ καλῶς εἰργασμένην, καὶ τὰ δένδρεα θαλέοντα καὶ πολύκαρπα, καὶ ἥμερα, καὶ ποταμοὺς ῥέοντας κατὰ τρόπον καὶ ὕδατι καθαρῷ μήτε πλέονι μήτε ἐλάσσονι τοῦ προσήκοντος, [2]τάς τε κρήνας καὶ τὰ φρέατα ὡσαύτως. Ταῦτα πάντα οὕτως δρώμενα σημαίνει ὑγείην τῷ ἀνθρώπῳ, καὶ τὸ σῶμα [3]κατὰ τρόπον πάσας τε τὰς περιόδους καὶ τὰς προσαγωγὰς καὶ τὰς ἀποκρίσεις εἶναι. Εἰ δέ τι [4]τούτων ὑπεναντίον ὁρῷτο, βλάβος σημαίνει τι ἐν τῷ σώματι· ὄψιος μὲν καὶ ἀκοῆς βλαπτομένων, περὶ τὴν κεφαλὴν νοῦσον σημαίνει· [5]τοῖσιν οὖν ὀρθρίοισι περιπάτοισι καὶ τοῖσιν ἀπὸ δείπνου πλέοσι χρηστέον πρὸς τῇ προτέρῃ διαίτῃ. [6]Τῶν σκελέων δὲ βλαπτομένων, ἐμέτοισιν ἀντισπαστέον, καὶ τῇ πάλῃ πλείονι χρηστέον πρὸς τῇ προτέρῃ διαίτῃ. [7]Γῆ δὲ τραχείη οὐ καθαρὴν τὴν σάρκα σημαίνει· τοῖσιν οὖν ἀπὸ τῶν γυμνασίων περιπάτοισι πλείοσι πονητέον. Δένδρων [8]δὲ ἡ ἀκαρπία σπέρματος τοῦ ἀνθρωπίνου διαφθορὴν δηλοῖ· ἢν μὲν οὖν [9]φυλλοῤῥοοῦντα ᾖ τὰ δένδρα, ὑπὸ τῶν ὑγρῶν καὶ ψυχρῶν βλάπτεται· ἢν δὲ [10]τεθήλῃ μὲν, ἄκαρπα δὲ ᾖ, ὑπὸ τῶν θερμῶν καὶ ξηρῶν· τὰ μὲν οὖν [11]τοῖσι διαιτήμασι χρὴ ξηραίνειν καὶ θερμαίνειν, τὰ δὲ ψύχειν [12]καὶ ὑγραίνειν. Ποταμοὶ [13]δὲ μὴ κατὰ τρόπον γινόμενοι αἵματος περίοδον σημαίνουσι, πλέον μὲν ῥέοντες ὑπερβολὴν, ἔλασσον δὲ ῥέοντες ἔλλειψιν· δεῖ δὲ τῇ διαίτῃ τὸ μὲν αὐξῆσαι, τὸ δὲ [14]μειῶσαι. Μὴ καθαροὶ δὲ ῥέοντες ταραχὴν σημαίνουσι· καθαίρονται δὲ ὑπὸ τῶν τροχῶν καὶ τῶν περιπάτων [15]πνεύ-

[1] Ὁρᾶν IJ. – λίην θ. – δένδρα IJ. – θαλέθοντα θ, Mack. – ῥαίοντας θ. – μήτε πλέονι μήτε ἐλάσσονι θ. – μήτε πλείονι μήτε ἐλάττονι (ἐλάσσονι Mack) vulg. — [2] καὶ τὰς κρήνας θ. – κρίνας K. – οὕτως δρώμενα om. (H, restit. al. manu) θ. – ὑγείην EHIJKθ, Lind., Mack. – ὑγείαν vulg. — [3] κατὰ τρόπον ponit ante εἶναι Lind. – δὲ pro τε GIJ. — [4] τουτέων Mack. – Ante τι addunt δὲ EHK. – τι ἐν τῷ σ. om. FGJ. – ὄψιος θ, Lind. – ὄψεως vulg. – ὅτι μὲν τῆς pro ὄψιος μὲν καὶ FGJ. – ὅτι ὄψεως μὲν καὶ ἀκοῆς Codd. Regg. ap. Foes in not. – νοῦσον EHKθ, Lind., Mack. – νόσον vulg. — [5] τοῖς θ. – πλείοσι θ. — [6] τῶν.... διαίτῃ om. Gθ. – ἐμέτεσιν (sic) E. — [7] τῇ pro γῇ EGHIJθ, Ald. – τρηχείη Lind. – ταχεία θ. – καθαρὴν HIJKQ′, Lind., Mack. – καθαρὰν vulg. – τοῖς οὖν θ. – τῶν θ, Mack. – τῶν om. vulg. – χρηστέον pro πονητέον θ. — [8] καὶ ἀκαρπίας pro δὲ ἡ ἀκαρπία (E, emend. al. manu) FGHIJK, Ald. – ἡ om. θ. – σώματος pro σπέρματος FGIJ, Zwing. in marg. – D'après Mack θ a σώματος; ma collation porte σπέρματος. – φθορὴν θ. — [9] φυλλορροοῦντα EK. – φυλλοῤῥοοῦντα vulg. – φυλλοροῦντα Mack. – ῇ pro ᾖ θ. – ἀπὸ JK. — [10] τεθηλημένα, ἄκαρπα δὲ vulg. – τεθηλημένα [μὲν], ἄκαρπα δὲ Lind. – τεθηλημεναχαρπα δὲ

sans crainte, voir la terre unie et bien travaillée, les arbres feuillés et couverts de fruits, des arbres cultivés, les fleuves roulant régulièrement une eau pure ni plus haute ni plus basse qu'il ne convient, les sources et les puits avec des apparences analogues. Tout cela, vu ainsi, annonce que l'homme est en santé, et que son corps opère régulièrement avec toutes ses circulations, toutes ses afférences et toutes ses sécrétions. Mais voir quelque apparence contraire, c'est l'indice d'une lésion quelconque dans le corps. Si c'est la vue ou l'ouïe qui paraît lésée, cela annonce maladie à la tête; on usera, outre le régime précédent, de nombreuses promenades et le matin et après le dîner. Si ce sont les jambes, on fera la révulsion à l'aide des vomissements, et, de plus que dans le régime précédent, on usera beaucoup de la lutte. Si c'est la terre qui se montre raboteuse, cela indique que la chair n'est pas pure; en conséquence on fera de nombreuses promenades après les exercices gymnastiques. Si ce sont les arbres qui apparaissent sans fruits, cela annonce la corruption du sperme; perdent-ils leurs feuilles? la corruption est due aux influences humides et froides; sont-ils feuillés mais stériles? elle est due aux influences chaudes et sèches. Ainsi, par le régime, on séchera et échauffera dans un cas, on refroidira et humectera dans l'autre. Les fleuves qui ne coulent pas régulièrement dénotent que le sang est en voie de circulation; à hautes eaux, l'excès du sang; à basses eaux, le défaut du sang. Par le régime on augmentera là, on diminuera ici. Si les eaux n'en sont pas pures, c'est l'indice d'un trouble. On obtiendra la détersion à l'aide des courses au cerceau et

θ. -Schneider dans son Suppl. signale τεθηλημένα pour τεθηλότα comme douteux. Il a eu parfaitement raison. L'excellente variante de θ, que Mack n'a pas rapportée, lève la difficulté; il faut la lire : τεθήλη μὲν, ἄκαρπα δὲ. -ἦν pro ᾖ G, Ald. -ἢ pro ᾖ θ. — [11] τοῖσι διαιτήμασι scribitur post θερμαίνειν EH. -τοῖσι διαιτ. χρὴ scribitur post θερμαίνειν K. -θερμαίνειν καὶ ξηραίνειν τοῖσι διαιτήμασι χρὴ θ. — [12] ψύχειν τε καὶ θ. — [13] δὲ καὶ μὴ E. -κατὰ τρόπον μὴ γινόμενοι θ. -πλεῖον EHKθ. -ῥαίοντες (bis) θ. -ἔλασσον θ, Mack. -ἔλαττον vulg. -ἔλληψι (sic) θ. — [14] μιῶσαι θ. -μὴ καθαρῷ δὲ ῥαίοντες ταραχὴν σημαίνει θ. -καθαίρεται E (H, al. manu, erat prius καθαίρηται) Kθ. — [15] τῷ πν. π. διακινούμενα θ. -δὲ om. θ.

ματι πυκνῷ ἀνακινεύμενα. Κρῆναι δὲ καὶ [1]φρέατα περὶ τὴν κύστιν τι σημαίνει· ἀλλὰ χρὴ τοῖσιν [2]οὐρητικοῖσιν ἐκκαθαίρειν. Θάλασσα δὲ ταρασσομένη κοιλίης νοῦσον σημαίνει· ἀλλὰ χρὴ τοῖσι διαχωρητικοῖσι καὶ κούφοισι καὶ μαλακοῖσιν ἐκκαθαίρειν. [3]Γῆ κινευμένη θεωμένη ἢ οἰκίη ὑγιαίνοντι μὲν ἀνδρὶ ἀσθενείην σημαίνει, νοσεῦντι δὲ ὑγείην καὶ μετακίνησιν τοῦ ὑπάρχοντος· τῷ μὲν [4]οὖν ὑγιαίνοντι μεταστῆσαι τὴν δίαιταν ξυμφέρει· ἐμεσάτω δὲ πρῶτον, ἵνα προσδέξηται αὖθις κατὰ μικρόν· ἀπὸ γὰρ τῆς ὑπαρχούσης [5]κινέεται ἅπαν τὰ σῶμα. Τῷ δὲ ἀσθενέοντι ξυμφέρον χρῆσθαι τῇ αὐτῇ διαίτῃ· μεθίσταται γὰρ ἤδη τὸ σῶμα ἐκ τοῦ παρεόντος. Κατακλυζομένην γῆν [6]ἀπό τινος ὕδατος ἢ θαλάσσης ὁρῆν νοῦσον σημαίνει, ὑγρασίης πολλῆς ἐνεούσης ἐν τῷ σώματι· ἀλλὰ χρὴ τοῖσιν ἐμέτοισι καὶ [7]τῇ ἀναριστήσει καὶ τοῖσι πόνοισι καὶ τοῖσι ξηροῖσι διαιτήμασι χρῆσθαι, ἔπειτα προσάγειν ἐξ ὀλίγων καὶ ὀλίγοισιν. [8]Ἀλλ' οὐδὲ μέλαιναν ὁρῆν τὴν γῆν οὐδὲ κατακεκαυμένην δοκεῖ ἀγαθὸν, ἀλλὰ κίνδυνος ἰσχυροῦ [9]νοσήματος ἀντιτυχεῖν καὶ θανασίμου· ξηρασίης γὰρ ὑπερβολὴν σημαίνει εἶναι ἐν τῇ σαρκί· [10]ἀλλὰ χρὴ τούς τε πόνους ἀφελεῖν τοῦ τε σίτου ὁκόσα ξηρά τε καὶ θερμὰ καὶ δριμέα καὶ οὐρητικά· διαιτῆσθαί τε τῆς τε πτισάνης καθέφθῳ τῷ χυλῷ, καὶ [11]πᾶσι τοῖσι μαλακοῖσι καὶ κούφοισιν ὀλίγοισι, [12]ποτῷ δὲ πλέονι ὕδαρεῖ λευκῷ, [13]λουτροῖσι πολλοῖσι θερμοῖσιν· ἀλλὰ μὴ ἄσιτος λουέσθω, μαλακευνείτω, [14]ῥαθυμεέτω, ψῦχος καὶ ἥλιον φυλασσέσθω· εὔχεσθαι δὲ Γῇ καὶ

[1] Φρέατα (φρίατα sic θ) θεώμενα (θεώμενα om., H restit. al. manu, θ, Mack) πνεύματα (πνεύματα om. θ, Mack) περὶ τὴν κύστιν (κῦστιν Ald., Frob., Zwing., Lind.) (addunt τι θ, Mack) σημαίνει vulg. — [2] διαχωρητικοῖσιν pro οὐρ. G. – θάλασσα.... ἐκκαθαίρειν om. E. – δὲ θ, Mack. – δὲ om. vulg. – νόσον GJ, Ald. — [3] κινευμένη (κεινουμένη θ) γῆ EHK. – θεωμένη om. (H, restit. al. manu) θ. – ἢ om. θ. – οἰκία θ. – ἀνδρὶ om. (H, restit. al. manu) θ. – νοσέοντι θ. – μετακείνησιν θ. — [4] νῦν pro οὖν θ. – συμφέρει θ. – ἐμεσάτω.... μικρὸν om. FGIJ. – ἐμεσάτω (addunt δὲ θ, Lind.) πρῶτον (addit καὶ Lind.) εἰ (εἶτα pro εἰ Mack ; ἵνα pro εἰ θ) vulg. – αὖτις EHθ. – Mack dit que θ a αὖθις. — [5] κενέεται (sic) J. – κρίνεται πᾶν θ. – ἀσθενέοντι θ. – ἀσθενοῦντι vulg. – ξυμφέρει FIJ. – συμφέρει EHKθ. – χρέεσθαι Lind. – τοιαύτη pro τῇ αὐτῇ G, Ald. – αὐτοῦ pro αὐτῇ J. – ἤδη θ. – δὴ pro ἤδη vulg. — [6] ὑπὸ Q', Lind., Mack. – τοῦ, al. manu τινος H. – Il faudrait lire του. – τινος om. θ. – πουλλῆς G, Ald., Frob., Mack. – τοῖσιν om. K. — [7] τῇ EHKQ', Lind. – τῇ om. vulg. – τῆσιν ἀναριστησι (sic) θ. – τῆσιν ἀναριστήσει (sic) Mack. – ἀναριστήσει, al. manu τήσοι J. – διαιτήμασι ξηροῖσι EHKθ. – χρῆσθαι om. (H, restit. al. manu) θ. – χρέεσθαι Lind., Mack. – καὶ ὀλίγοισιν om. θ. — [8] ἀλλ' om. (H, restit. al.

des promenades, qui produisent l'agitation d'une respiration accélérée. Les sources et les puits dénotent quelque chose vers la vessie; on détergera à l'aide des diurétiques. La mer troublée annonce une maladie du ventre; on détergera à l'aide des laxatifs et des aliments légers et mous. La terre ou une maison qu'on voit trembler dénote la maladie à un homme sain, la santé et le changement du présent à un malade; donc il convient de changer le régime de l'homme sain; il vomira d'abord, afin qu'il reprenne peu à peu l'alimentation; car l'alimentation actuelle trouble tout le corps. Mais, au malade, il convient de garder le régime actuel; car déjà le corps est en voie de changer son état présent. Voir la terre inondée par les eaux ou par la mer annonce une maladie; car beaucoup d'humidité est dans le corps; vomissements, suppression du déjeuner, exercices, alimentation siccative, puis progression en partant de peu et en croissant par peu, voilà ce qui convient. Voir la terre sombre et calcinée ne paraît pas, non plus, être bon; il y a danger de tomber dans une maladie violente et mortelle; car c'est l'indice d'un excès de sécheresse dans la chair; on retranchera les exercices, et, dans les aliments, ceux qui sont secs, chauds, âcres et diurétiques; on vivra d'eau d'orge bien cuite et de tout ce qui est mou et léger, en petite quantité; la boisson sera abondante, aqueuse, blanche; beaucoup de bains chauds; mais on ne se baignera pas à jeun. Dormir mollement; se reposer; se garder du froid

manu) θ. – μέλαναν, al. manu λαι H. – ὀρῆν EHθ, Mack. – ὁρᾷν (ὀρ. om. G, Ald.) vulg. – τὴν EHKθ. – τὴν om. vulg. – μέλαιναν γῆν ὀρῆν Q', Lind. – δοκεῖ om. (H, restit. al. manu) θ. — [9] νουσ. Lind., Mack. – εἶναι om. (H, restit. al. manu) θ. — [10] Ante ἀλλὰ addit καὶ δριμέα καὶ οὐρητικὰ J. – ὅσα τε ξηρὰ sine καὶ θερμὰ θ. – D'après Mack θ a σιτίου ὁκόσα τε. Ma collation dit σίτου. – ὁκόσα τε ξηρὰ EHK. – διαιτεῖσθαι J. – διαιτῆσαι G, Ald. – πτισσάνης E. — [11] σίτοισι pro πᾶσι τοῖσι θ. – τοῖς vulg. – τοῖσι EIK, Lind., Ald. – μαλακοῖσι καὶ om. θ. — [12] ποτῷ (addunt δὲ θ, Lind.) χρέοντι (χρέεσθαι L, Lind., Mack; χρέοντα conjicit Æmil. Portus ap. Mack; πλέονι pro χρέοντι H; πλείονι EKθ) ὑδαρεῖ λευκῷ πλείονι (πλέονι I; πλείονι om. EHKθ) vulg. — [13] [καὶ] λ. Lind. – πουλλοῖσι G, Frob., Zwing. – ἀλλὰ om. EHKθ. – λούσθω EK. – μαλακευνεέτω Lind., Mack. — [14] [καὶ] ῥ. Lind. – ῥαθυμείτω EHIJKθ.

Ἑρμῇ καὶ [1] τοῖσιν ἥρωσιν. Εἰ δὲ κολυμβῆν ἐν λίμνῃ ἢ ἐν θαλάσσῃ ἢ ἐν ποταμοῖσι δοκέει, οὐκ ἀγαθόν· ὑπερβολὴν γὰρ ὑγρασίης σημαίνει· [2] ξυμφέρει δὲ τούτῳ ξηραίνειν τῇ διαίτῃ, τοῖσί τε πόνοισι πλείοσι χρῆσθαι· πυρέσσοντι δὲ ἀγαθόν· σβέννυται γὰρ τὸ θερμὸν ὑπὸ τῶν ὑγρῶν.

91. Ὅ τι δ' ἄν τις περὶ αὐτοῦ [3] ὁρέῃ κατὰ τρόπον γινόμενον πρὸς τὴν φύσιν τὴν ἑωυτοῦ μήτε μέζω μήτε ἐλάσσω, ἀγαθὸν πρὸς ὑγείην ἐστί· καὶ ἐσθῆτα λευκὴν ἐνδεδύσθαι καὶ ὑπόδεσιν τὴν καλλίστην, ἀγαθόν. Ὅ τι δ' [4] ἂν ἔῃ μεῖζον τῶν μελέων ἢ ἔλασσον, οὐκ ἀγαθόν· ἀλλὰ χρὴ [5] τὸ μὲν αὔξειν τῇ διαίτῃ, [6] τὸ δὲ μειοῦν. Τὰ δὲ μέλανα νοσερώτερά τε καὶ ἐπικινδυνώτερα· ἀλλὰ χρὴ μαλάσσειν καὶ ὑγραίνειν· καὶ τὰ καινὰ μεταλλαγὴν σημαίνει.

92. Τοὺς [7] δὲ ἀποθανόντας ὁρῆν καθαροὺς ἐν ἱματίοισι λευκοῖσιν ἀγαθὸν, καὶ λαμβάνειν τι παρ' αὐτῶν καθαρὸν [8] ἀγαθόν· ὑγείην γὰρ σημαίνει καὶ τῶν σωμάτων καὶ τῶν ἐσιόντων· ἀπὸ γὰρ τῶν ἀποθανόντων αἱ τροφαὶ καὶ αὐξήσιες καὶ σπέρματα γίνονται· ταῦτα [9] δὲ καθαρὰ ἐσέρπειν ἐς τὸ σῶμα ὑγείην σημαίνει. [10] Εἰ δὲ τουναντίον τις ὁρῴη γυμνοὺς ἢ μελανοείμονας ἢ μὴ καθαροὺς ἢ λαμβάνοντάς τι ἢ φέροντας [11] ἐκ τῆς οἰκίης, οὐκ ἐπιτήδειον· σημαίνει [12] γὰρ νοῦσον· τὰ γὰρ ἐσιόντα ἐς τὸ σῶμα βλαβερά· ἀλλὰ χρὴ τοῖσι τροχοῖσι καὶ τοῖσι περιπάτοισιν ἀποκαθαίρεσθαι, [13] καὶ τῇ τροφῇ τῇ μαλακῇ τε καὶ κούφῃ προσάγειν ἐμέσαντα.

[1] Τοῖσιν om. EHK. – κολυμβᾶν θ. – δοκοίη θ. — [2] σ. (H, al. manu ξ) θ. – Post δὲ addunt καὶ EHKθ. – ξηραίνειν (σημαίνειν pro ξ. EIJK) θ, Mack. – ξηραίνειν om. vulg. – Post διαίτῃ addunt ξηρῇ L, Foes in not., Lind. – τε om. θ. – πλείοσι θ, Mack. – πλείοσι om. vulg. – χρῆσθαί om. θ, Mack. – χρέεσθαι Lind. – πυρέσσοντι θ, Mack. – πυρέττοντι vulg. — [3] ὁρέῃ θ. – ὁρῇ K. – ὁρᾷ vulg. – μέζω EGHIJKθ. – μείζω vulg. – ἐλάττω E. – ὑγιείην θ. – D'après Mack θ a ὑγείην. – σημαίνει pro ἐστὶ EHθ. – Post λευκὴν addunt τὴν ὑπάρχουσαν Hθ. – ἐνδεδύσθαι om. (H, restit. al. manu) θ. — [4] ἦν pro ἂν EH. – εἴη vulg. – ᾖ EHK. – ἢ θ. – μέζω FIJ. – μείζω G, Ald. – μείζων θ. – D'après Mack θ a εἴη μεῖζον. – μελέων ἢ ἔλασσον οὐκ ἀγαθόν· ἀλλὰ χρὴ EHKθ. – μελῶν (μελέων Mack; μελάων sic IJ) οὐκ ἀγαθόν· ἀλλ' οὐδ' ὅπερ ἂν εἴη ἔλασσον (ἐλάσσω FGIJ)· καὶ χρὴ vulg. — [5] τὰ μὲν αὔξειν τῇ διαίτῃ τὰ δὲ μηοῦν θ. — [6] τὰ H. – ἐπικινδυνώτερα θ, Mack. – ἐπικίνδυνα vulg. — [7] δὲ θ. – δὲ om. vulg. – ὁρᾶν GIJ. – ὁρη (sic) θ. – παρὰ τούτων pro παρ' αὐτῶν FIJ. — [8] ἀγαθὸν om. HKθ. – ὑγιείην θ. – γὰρ om. HKθ. – θανόντων θ. – γίνεται HKθ. — [9] γὰρ pro δὲ EGIJ. – Mack dit que θ a γὰρ pour δέ. Ma collation n'en dit rien. – ἐσέρπειν HKθ. – εἰσέρπειν vulg. — [10] εἰ EHKθ. – ἢν vulg. – D'après Mack θ a

et du soleil ; prier la Terre, Hermès et les Héros. Si l'on croit plonger dans un étang ou dans la mer ou dans une rivière, cela n'est pas bon, dénotant un excès d'humidité. Dans ce cas il convient de dessécher par le régime et d'user de beaucoup d'exercices. Mais ces apparences sont bonnes pour un fébricitant ; car le chaud s'éteint par les choses humides.

91. (*Songes où l'on se voit soi-même.*) Quand vous voyez quelque chose s'ajuster sur vous régulièrement à votre stature qui ne paraît ni augmentée ni diminuée, cela est bon pour la santé ; il est bon aussi d'être revêtu d'un habit blanc et d'avoir sa plus belle chaussure. Mais si quelqu'une des parties du corps paraît trop grande ou trop petite, cela n'est pas bon. Par le régime, dans un cas on ajoutera, dans l'autre on retranchera. Les objets noirs annoncent davantage la maladie et le danger ; il faut amollir et humecter. Les choses nouvelles indiquent changement.

92. (*Songes où l'on voit les morts.*) Voir les morts purs et vêtus de blanc est favorable, ainsi que recevoir d'eux quelque chose de pur ; car cela dénote la santé du corps et la salubrité de ce qui y est introduit. En effet, c'est des morts que viennent les nourritures, les croissances et les semences ; or, que cela entre pur dans le corps, c'est un indice de santé. Voir le contraire, c'est-à-dire voir les morts nus ou vêtus de noir ou non purs, ou recevant quelque chose, ou emportant quelque chose de la maison, est défavorable ; car c'est annonce de maladie ; ce qui entre dans le corps est nuisible. Il faut déterger par les courses au cerceau et les promenades, par le vomissement et, à la suite, par une nourriture molle et légère qu'on accroîtra graduellement.

ἦν. – ὅρω ἢ γυμνοὺς (H, al. manu ὁρώη) KQ'θ. – ὁρώη ἢ γυμνοὺς E, Lind., Mack. – Mack dit que θ a ὁρώη ἢ γ. – μελανείμονας EFGIJ. – μελανίμονας θ. — [11] ἐκ om. FGIJ, Ald. – οἰκίης Eθ, Mack. – οἰκίας vulg. — [12] τε pro γὰρ (H, al. manu γὰρ) θ. – εἰσιόντα EHIJK. – εἰς K. – τροχοῖσί [τε] καὶ Lind., Mack. — [13] καὶ om., restit. al. manu H. – καὶ τῇ τροφῇ μαλακῇ καὶ κούφῃ θ. – καὶ τῇ τροφῇ μαλακῇ τε καὶ κούφῃ Mack. – Mack dit que θ est conforme à ce qu'il a imprimé. – τε om. EHIK.

93. [1] Ὁκόσα δὲ ἀλλόμορφα σώματα φαίνεται ἐν τοῖσιν ὕπνοισι καὶ φοβέει τὸν ἄνθρωπον, σιτίων ἀσυνήθων σημαίνει πλησμονὴν καὶ ἀπόκρισιν, καὶ χολέραν καὶ νοῦσον κινδυνώδεα· ἀλλὰ χρὴ ἔμετον ποιήσασθαι καὶ [2] προσαγαγεῖν ἐς ἡμέρας πέντε σιτίοισιν ὡς κουφοτάτοισι, μὴ πολλοῖσι μηδὲ δριμέσι, μήτε τοῖσι ξηροῖσι μήτε τοῖσι θερμοῖσι, καὶ τῶν πόνων τοῖσι κατὰ φύσιν μάλιστα, πλὴν τῶν ἀπὸ δείπνου περιπάτων· [3] χρῆσθαι δὲ καὶ θερμολουσίῃ καὶ ῥαθυμίῃ· ἥλιον δὲ καὶ ψῦχος φυλασσέσθω. [4] Ἢν δὲ ἐν τῷ ὕπνῳ ἐσθίειν δοκέῃ ἢ πίνειν τῶν συνήθων σιτίων ἢ πομάτων, ἔνδειαν σημαίνει τροφῆς [5] καὶ ψυχῆς ἐπιθυμίην· κρέα δὲ τὰ μὲν ἰσχυρότατα ἐνδείας ὑπερβολήν, τὰ δὲ ἀσθενέστερα ἧσσον· ὥσπερ γὰρ ἐσθιόμενον ἀγαθόν, οὕτω καὶ δρεόμενον· ἀφαιρέειν οὖν τῶν σιτίων οὐ ξυμφέρει· τροφῆς γὰρ ἐνδείας ὑπερβολὴν τοῦτο σημαίνει· [6] ἀλλὰ καὶ ἄρτοι τυρῷ καὶ μέλιτι πεποιημένοι καθ' ὕπνους ἐσθιόμενοι, ὡσαύτως σημαίνουσιν. [7] Ὕδωρ δὲ καθαρὸν πινόμενον ἀγαθόν· τὰ δὲ ἄλλα πάντα βλάπτει. Ὁκόσα δὲ [8] δοκέει ὁ ἄνθρωπος θεωρέειν τῶν συνήθων, ψυχῆς ἐπιθυμίην σημαίνει. [9] Ὁκόσα δὲ φεύγει πεφοβημένος, ἐπίστασιν τοῦ αἵματος σημαίνει ὑπὸ ξηρασίης· [10] ξυμφέρει δὲ ψῦξαι καὶ ὑγρῆναι τὸ σῶμα. [11] Ὁκόσα δὲ ἢ μάχεται ἢ κεντέεται ἢ ξυνδέεται ὑπ' ἄλλου, ἀπόκρισιν σημαίνει ὑπεναντίην τῇ περιόδῳ γεγονέναι [12] ἐν τῷ σώματι· ξυμφέρει οὖν ἐμέειν καὶ ἰσχναίνειν [13] καὶ περιπατεῖν, [14] καὶ σιτίοισι κούφοισι χρῆσθαι,

[1] Ὅσα θ. – ἐπὶ pro ἐν θ. – πλεισμονὴν καὶ ἀπόκρισι (sic) θ. – κινδυνώδεα θ. – κινδυνώδη vulg. — [2] προσάγειν (H, al. manu προσαγαγεῖν) θ. – σίτοισιν θ. – πουλλοῖσι G, Ald., Frob., Zwing. — [3] χρέεσθαι Lind. – χρήσθω θ. – δὲ καὶ λουτροῖσι καὶ θερμολουτίῃσι καὶ ῥαθυμίῃσιν vulg. – δὲ καὶ θερμολουσίῃ καὶ ῥαθυμίῃ θ. – Mack dit que θ a ῥαθυμίῃσιν. – φυλασσέσθω EHJK, Mack. – φυλαττέσθω vulg. — [4] ὁκόταν θ. – δ' EHKθ. – ἐν om. FGJ. – δοκέῃ θ, Lind. – δοκῇ vulg. – τῶν συνήθων ποτῶν ἢ σιτίων θ. – D'après Mack θ a συνηθέων. — [5] καὶ ψυχῆς ἀθυμίην· κρέα δὲ τὰ μὲν ἰσχυρότατα μεγίστης ὑπερβολῆς, τὰ δὲ ἀσθενέστατα (ἀσθενέστερα, H eadem manu, erat prius ἀσθενέστατα, K P'Q'θ, Lind., Mack) ἥσσω (ἧσσον HKP'Q'θ, Lind., Mack)· ὥσπερ γὰρ ἐσθιόμενον ἀγαθόν, οὕτω καὶ ὁρώμενον (οὕτως καὶ ὁραιόμενον θ)· ἀφαιρέειν οὖν τῶν σιτίων ξυμφέρει (σ. θ)· τροφῆς γὰρ ὑπερβολὴν τοῦτο (τοῦτο om., H restit. al. manu, θ) σημαίνει vulg. – Le texte de vulg. est certainement altéré. D'abord on ne sait à quoi se rapporte ce génitif, μεγίστης ὑπερβολῆς. Ensuite ce texte est contradictoire avec la série des idées. C'est à cette série des idées que je m'en suis rapporté pour corriger la phrase, très-violemment, il est vrai, mais, je crois, d'une manière probable quant au sens. J'ai changé ἀθυμίην en ἐπιθυμίην, comme le veut une phrase qui est

93. (*Songes divers. Conclusion.*) Voir dans le sommeil des corps de forme étrange et être saisi de frayeur indique une plénitude d'aliments inaccoutumés, une sécrétion, un flux bilieux et une maladie dangereuse. Dans ce cas on vomira, après quoi on suivra une progression graduelle pendant cinq jours par des aliments aussi légers que possible, qui ne seront ni abondants, ni âcres, ni desséchants, ni échauffants; quant aux exercices, on usera surtout des exercices naturels, si ce n'est des promenades après le dîner. On prendra des bains chauds; on se reposera; on se gardera du soleil et du froid. Si, pendant le sommeil, on croit prendre la nourriture ou la boisson habituelle, cela dénote le besoin d'aliment et l'appétit de l'âme; des viandes dont on rêve, les plus fortes indiquent l'excès de besoin; des viandes plus faibles indiquent un besoin moindre. Manger en rêve est bon comme manger en réalité. Il ne convient donc pas de diminuer les aliments; car ce signe témoigne qu'il y a grand besoin de nourriture. La signification est la même quand on s'imagine en dormant manger des pains où entrent du fromage et du miel. Boire de l'eau limpide est bon signe; tout le reste est nuisible. Tous les objets habituels que l'on croit voir indiquent le désir de l'âme. Tout ce que l'on fuit effrayé indique l'arrêt du sang par la sécheresse; il convient alors de refroidir et d'humecter le corps. Toutes les fois que l'on se bat, que l'on est piqué ou enchaîné par un autre, cela indique qu'il s'est fait dans le corps une sécrétion contrariant le mouvement circulaire; il convient de

un peu plus bas; μεγίστης ὑπερβολῆς en ἐνδείας ὑπερβολήν; j'ai ajouté οὐ devant ξυμφέρει, et ἐνδείας après γάρ. — [6] ἀλλὰ om. EHKθ. - ἄρτω E. - καθ' ὕ. ἐσθιόμενοι om. (H, restit. al. manu) θ. — [7] ὕδωρ πινόμενον καθαρὸν οὐ βλάπτει pro ὕδωρ.... ἀγαθὸν EHKθ. — [8] δοκέῃ K. - ὁ om., restit. al. manu H. - θεωρέειν θ, Mack. - θεωρεῖν EHIJK. - θεωρῇν vulg. - ἐπιθυμίαν J. — [9] ὅσα θ. - ἐπίτασιν HK. — [10] συμφέρει IJθ. - τε pro δὲ EHK. - ὑγρῆναι θ, Mack. - ὑγρᾶναι vulg. — [11] ὅσα δὲ μάχεται ἢ κεντεῖται ἢ συνδέεται θ. - κεντεῖται EHK. - συνδέεται Mack. - ξυνδεῖται vulg. — [12] ἐν θ, Mack. - ἐν om. vulg. - ἐμέειν ξυμ. sine οὖν EHK (θ, συμφέρει). - ξυμφ. Lind. - συμφ. vulg. - ἐμέειν om. FGIJ. — [13] καὶ om. θ. - περιπατέειν Mack. — [14] καὶ om. EHKθ. - σίτοισι θ. - χρέεσθαι Lind., Mack.

[1]καὶ προσάγειν ἐκ τοῦ ἐμέτου ἐς ἡμέρας πέντε. Ἀλλὰ [2]καὶ πλάνοι καὶ ἀναβάσιες χαλεπαὶ ταὐτὰ σημαίνουσιν. Ποταμῶν διαβάσιες [3]καὶ ὁπλῖται [4]καὶ πολέμιοι [5]καὶ τέρατα ἀλλόμορφα νοῦσον σημαίνει ἢ μανίην· ξυμφέρει [6]σιτίοισιν ὀλίγοισι κούφοισί τε καὶ μαλακοῖσι χρέεσθαι, καὶ ἐμέτοισι προσάγειν ἡσυχῇ ἐπὶ ἡμέρας πέντε, [7]καὶ τοῖσι πόνοισι τοῖσι κατὰ φύσιν πολλοῖσι χρέεσθαι πλὴν ἀπὸ τοῦ δείπνου, θερμολουσίην [8]δὲ, ῥαθυμίην, ψῦχος, ἥλιον φυλάσσεσθαι. [9]Τούτοισι χρώμενος ὡς γέγραπται, ὑγιανεῖ τὸν βίον, καὶ εὕρηταί μοι δίαιτα ὡς δυνατὸν εὑρεῖν ἄνθρωπον ἐόντα ξὺν τοῖσι θεοῖσιν.

[1] Καὶ om. E (H, restit. al. manu) θ. – ἐς om. FGJ. – πρὸς ἡμέρας πέντε θ. ἀλλὰ om. (H, restit. al. manu) θ. — [2] καὶ om. EK. – πλάναι Mack. – Post ἀναβάσιες addit ἐκ φαντασμάτων vulg. – ἐκ φαντασμάτων om. (H, restit. al. manu) θ. – χαλεπαὶ θ. – χαλεπὰ vulg. – ταῦτα vulg. – Je lis ταὐτὰ. – συμβαίνουσι pro σημαίνουσιν I. — [3] καὶ om. EHIJK. – ὁπλίται G, Ald., Frob., Zwing. – ὁπλειται (sic) θ. — [4] καὶ om. Gθ, Ald. — [5] καὶ om. EFGHIJKθ, Ald. – νούσους σημαίνει θ. – συμφέρει θ. – Post ξ. addit οὖν τοῖς ἐν τοιούτοισιν ἀλωμένοισι (ἀλ. EIK, Ald., Frob., Zwing., Mack) vulg. – οὖν τοῖς ἐν τ. ἀλ. om. (H, restit. al. manu cum ἀλ.) θ. — [6] σίτοισιν θ. – τε καὶ om. EHKθ. – χρῆσθαι θ. – ἐπ' θ. – ἐς EHK. — [7] καὶ σίτοισι καὶ πόνοισι τοῖσι θ. – πουλλοῖσι G, Ald., Frob., Zwing. – χρέεσθαι om. EHK. – D'après Mack πλὴν manque dans θ. Ma collation a ce mot. – τοῦ θ. – τοῦ om. vulg. – θερμολουτίην G. — [8] δὲ om. EHKθ. — [9] τουτέοισι Mack. – χρεόμενος θ. – ὑγιαίνει vulg. – ὑγιαίνοι K. – ὑγιανει (sic) θ. – ἐόντα θ. – ὄντα vulg. – σὺν θ.

vomir, d'atténuer et de se promener, d'user d'aliments légers, de vomir, et, après le vomissement, de se nourrir par progression pendant cinq jours. S'égarer ou monter péniblement a la même signification. Passage de rivières, hoplites, ennemis, monstres à forme étrange, tout cela indique maladie ou délire. Il convient d'user d'aliments légers, mous, en petite quantité, de vomir, et, après, d'accroître doucement la nourriture pendant cinq jours. Exercices naturels et beaucoup, si ce n'est après le dîner; bains chauds; repos; se garder du froid, du soleil. En suivant les indications que j'ai tracées, on demeurera en santé pendant sa vie; et par moi a été découvert le régime autant qu'un homme peut découvrir avec l'aide des dieux. . . . .

FIN DU QUATRIÈME LIVRE DU RÉGIME OU DES SONGES,
ET DU SIXIÈME VOLUME.

TABLE DU SIXIÈME VOLUME.

